In the earlier (passages)[a] He has represented heaven by the shoulder-piece[b] and the (object) on the breast, which He has called "pectoral,"[c] and (has represented) the lower region,[d] (namely) the air, by the double hyacinthine (robe),[e] and then water, which is below the air, by the symbol[f] of the pomegranate-shaped (tassel). Now, however, He mentions the flowers in addition to the pomegranate-shaped (tassels), and by them He indicates[g] the earth, since everything flowers and grows from the earth.[h] But the bell has an intermediate position between the pomegranate-shaped (tassel) and the flower, and indicates the harmony and community of the elements.[i] For if there had not been produced in the world the harmonious blending into a symphony of antiphonal voices as if of a choir sounding as one, it would not have received its full perfection.[j] But since there are four elements,[k] He has spoken very circumspectly[l] in distinguishing and separating the bell from fire and air, for the movement of the soul is only from itself, as is generally agreed, especially by the philosophers of the Stoa. But it[m] has united earth with water, for earth and water are themselves the body of the

[a] Aucher "imprimis."
[b] ἐπωμίδος, see *QE* ii. 110.
[c] περιστήθιον.
[d] Lit. "the following (region)."
[e] See the preceding three sections.
[f] συμβόλου.
[g] αἰνιττόμενος.
[h] *Cf. De Vita Mosis* ii. 119 τὰ μὲν ἄνθινα σύμβολον γῆς, ἀνθεῖ γὰρ καὶ βλαστάνει πάντα ἐκ ταύτης.
[i] In *De Migratione* 103 the bells symbolize the sense of hearing, in *De Vita Mosis* ii. 119 they symbolize the harmony of earth and water, in *De Spec. Leg.* i. 93 they symbolize the harmony of the parts of the world (ἁρμονίαν καὶ συμφωνίαν καὶ συνήχησιν τῶν τοῦ κόσμου μερῶν). In the present passage Philo combines the three kinds of symbolism.
[j] τελεσιουργίαν: Aucher "perfectionem."
[k] στοιχεῖα.
[l] Aucher "accurate."
[m] *i.e.* the bell as a symbol of the unity of earth and water.

world.[a] Now, the body itself is inanimate and unmoving,[b] and it was in need of that Logos,[c] which, by the art of music,[d] adapted and reformed it into a harmony and oneness of all things.[e]

121. (Ex. xxviii. 32a [Heb. 36a]) What is "the leaf[f] of pure gold"?[g]

The leaf has a fine[h] construction and also lacks depth, and so it appears to be a surface.[i] Now, a surface is incorporeal.[j] And may it not be that it is called "leaf" from "flying,"[k] so that it may be a symbol of incorporeal and intelligible forms of substance?[l] That which is always borne upward becomes winged and never turns toward a downward course. Wherefore He has also called it "pure," as being unmixed and luminous, for sense-perceptible things[m] are mixtures which are brought together from many things. For the forms which weave

[a] *τὸ τοῦ κόσμου σῶμα.* [b] *ἄψυχον καὶ ἀκίνητον.*

[c] Aucher "rationis illius."

[d] *τῇ μουσικῇ τέχνῃ.*

[e] Aucher renders more briefly, "in harmoniam reduceret illud pro concordia universorum."

[f] *i.e.* the plate (*πέταλον*) on the forehead of the high priest.

[g] LXX *καὶ ποιήσεις πέταλον χρυσοῦν καθαρόν.* Philo briefly discusses its symbolism in *De Migratione* 103 and *De Vita Mosis* ii. 114-116.

[h] *i.e.* thin or light: Aucher "subtilem." But note that in *De Vita Mosis* ii. 114 Philo says that it "is wrought into the form of a crown."

[i] *ἐπιφάνεια.* [j] *ἀσώματος.*

[k] Philo plays on the resemblance between *πέταλον* "leaf" and *πέτεσθαι* "to fly."

[l] *σύμβολον ἀσωμάτων καὶ νοητῶν ἰδεῶν οὐσίας.* Although Arm. *niut'* usu. = *ὕλη*, I have rendered the last word as if the original were *οὐσίας* rather than *ὕλης* "of matter," since the former is not only required by the context but is also confirmed by the parallel in *QE* ii. 124, where the Arm. translator uses *goyout'iun* = *οὐσία.*

[m] *τὰ αἰσθητά.*

together things not (previously joined) with one another [a] also have purity, being like a lamb.[b]

122. (Ex. xxviii. 32b [Heb. 36b]) Why does He say, "Thou shalt express [c] in it [d] the expression of a seal-impression, 'Holiness to the Lord'" [e]?

It pleases Him that the incorporeal and intelligible substance [f] should be unimpressed by itself and without shape but be formed and shaped like a seal-impression by the Logos of the eternally Existent One.[g] Excellently, therefore, has He represented the seal-impression as an "expression," [h] for there are expressed in them in part [i] the forms which the patterns [j] had. But the divine Logos, which is established over all things, is immaterial,[k] being, as it were, not impressed upon them but expressed,[l] for

[a] Aucher renders more literally, "quae non sunt invicem."

[b] The sense escapes me. Perhaps the last phrase "being like a lamb" is a scribal addition.

[c] *i.e.* "engrave" or the like. I have rendered literally in order to make clearer Philo's allegorical interpretation.

[d] *i.e.* in the gold plate worn on the high priest's forehead.

[e] LXX *καὶ ἐκτυπώσεις ἐν αὐτῷ ἐκτύπωμα σφραγῖδος ἁγίασμα κυρίου* (*v.l.* *κυρίῳ*: Heb. "to YHWH"). Philo briefly discusses this half-verse in *De Migratione* 103 (reading *κυρίῳ*) and *De Vita Mosis* ii. 114-115, 132, where he deals with the mystical number of the letters of the Tetragrammaton.

[f] *τὴν ἀσώματον καὶ νοητὴν οὐσίαν*, *cf.* *QE* ii. 121, note *l*.

[g] *τῷ τοῦ ἀεὶ* (*vel sim.*) *Ὄντος λόγῳ*. The idea is more clearly and fully expressed in *De Migratione* 103 *ἐκείνη μὲν ἡ σφραγὶς ἰδέα ἐστὶν ἰδεῶν καθ' ἣν ὁ θεὸς ἐτύπωσε τὸν κόσμον, ἀσώματος δήπου καὶ νοητή*.

[h] *ἐκτύπωμα*.

[i] The original prob. referred to the various parts of the cosmos.

[j] *οἱ τύποι*, *i.e.* the archetypes.

[k] *ἄυλος*.

[l] *οὐκ ἐντυπωθεὶς ἀλλ' ἐκτυπωθείς*, but contrast *De Vita Mosis* ii. 132 *τῶν τεττάρων αἱ γλυφαὶ γραμμάτων ἐνεσφραγίσθησαν*. Philo has slightly modified his allegorical interpretation to make it conform more closely to the literal meaning.

it is external to all substances and to all corporeal and incorporeal elements.[a]

123. (Ex. xxviii. 33a [Heb. 37a]) Why is the leaf[b] placed over the double hyacinthine (robe)?[c]

Because the double hyacinthine (robe) is almost black,[d] and black is the colour of ink and is opaque. But the forms[e] are not visible, and the leaf presents a symbol[f] of the forms, since it is the substance of the invisible and intelligible.[g]

124. (Ex. xxviii. 33b-34 [Heb. 37b-38]) Why is the leaf[h] (placed) upon the forehead of the high priest but not upon his head?[i]

The head is an assemblage of hair, skin and bones, while the place of the brain[j] is in the front of the head. Now, the theologians[k] say that the sovereign part (of the mind)[l]

[a] Aucher "quae excellet omnes materias corporeas et incorporeas."

[b] *i.e.* the gold plate (πέταλον) on the high priest's forehead.

[c] LXX καὶ ἐπιθήσεις αὐτὸ (*sc.* τὸν πέταλον) ἐπὶ ὑακίνθου κεκλωσμένης (Heb. "braid of blue"), κτλ. On the problem of the "double" hyacinthine robe see *QE* ii. 117, notes.

[d] *i.e.* dark blue, see *QE* ii. 85, 117.

[e] αἱ ἰδέαι or τὰ εἴδη.

[f] σύμβολον.

[g] τοῦ ἀοράτου καὶ νοητοῦ οὐσία ἐστίν, *cf.* *QE* ii. 121.

[h] *i.e.* the gold plate (πέταλον).

[i] LXX καὶ ἔσται ἐπὶ τῆς μίτρας· κατὰ πρόσωπον τῆς μίτρας ἔσται. καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρών, κτλ. Contrast *De Migratione* 103, where Philo says that the gold plate is on the high priest's head, ἐπὶ μὲν τῆς κεφαλῆς. Here, as in some of the preceding sections, Philo's allegorical interpretation is based upon a more literal reading of Scripture than are the interpretations in his fuller and earlier commentary on the Pentateuch.

[j] τοῦ ἐγκεφάλου.

[k] οἱ θεολόγοι, *i.e.* the Greek philosophers.

[l] τὸ ἡγεμονικόν.

has its settled habitation [a] in the brain.[b] For this reason it was in the front of [c] the principal and sovereign (part) of the soul, to which the mind and the reason [d] have been allotted, that the leaf was placed (as) a symbol of intelligible substance [e] (and as) [f] a likeness of the divine Logos and (as) an expressed seal-impression,[g] (namely) the form of forms.[h]

[a] Lit. " constancy of habitation " : Aucher " constantem habitationem."

[b] Philo sometimes follows Aristotle and the Stoics in locating the mind in the heart, but more often follows Plato in locating it in the brain, as, *e.g.*, in *QG* i. 5, ii. 5, *QE* ii. 100. See, for the various passages, Helmut Schmidt, *Die Anthropologie Philons von Alexandreia* (Würzburg, 1933), pp. 51, 143.

[c] Lit. " before " : Aucher " in regione."

[d] *ὁ νοῦς* (or *ἡ διάνοια*) *καὶ ὁ λόγος*.

[e] *σύμβολον νοητῆς οὐσίας*, *cf.* *QE* ii. 121, note *l*.

[f] Aucher inserts " praeseferens."

[g] *ἐκτυπωθεῖσα σφραγίς*, *cf.* *QE* ii. 122.

[h] *ἰδέα ἰδεῶν*, *cf.* *De Migratione* 103, *QE* ii. 122.

APPENDIX A

APPENDIX A

GREEK FRAGMENTS OF THE QUAESTIONES

Although Philo's *Quaestiones in Genesin et Exodum* has survived as a whole (or in large part) only in the ancient Armenian version, the original Greek text of parts of about two hundred sections has been preserved in the works of some of the Church Fathers like John of Damascus or Byzantine chroniclers like Leo Grammaticus or antiquarians like Johannes Lydus or the anonymous authors of catenae arranged in the order of Scriptural verses. A number of these fragments (some of them being rather paraphrastic than literal) were collected by Mangey in his edition of Philo's works published in 1742. Since that time other scholars have added to their number. While it may be expected that future research will discover more fragments of the *Quaestiones* as well as of other lost works of Philo, it still seems worth while at the present time to bring together the fragments of the *Quaestiones* which have been collected by various scholars and published in half a dozen separate works. It should be noted in passing that Dr. Ludwig Früchtel of Ansbach, Germany, to whom we owe the identification of several fragments (published by Harris) formerly unlocated in the *Quaestiones*, proposes to bring out a more complete collection of the fragments of Philo's various lost works and has, as he informed me in 1949, already located a few more hitherto unidentified fragments of the *Quaestiones*.

The fragments (or paraphrases) reproduced from the various modern collections listed below are here given without an English translation, partly because the differences between them and the Armenian have already been mentioned in the footnotes to the translation of that version, and partly because many of the fragments are such free quotations of the original that it might be misleading to translate them

and thus make them appear to be of equal weight with the translation of the Armenian version.

The six modern works from which the Greek texts are reproduced are herewith listed in order of publication.

Harris, J. Rendel, *Fragments of Philo Judaeus.* Cambridge, 1886 (includes fragments earlier published by Mangey, Mai, Pitra and Tischendorf).

Wendland, Paul, *Neu entdeckte Fragmente Philos.* Berlin, 1891 (consists mostly of selections from Procopius, including those published earlier by Mai).

Praechter, Karl, " Unbeachtete Philonfragmente," *Archiv für Geschichte der Philosophie*, N.F. 9 (1896), 415-426 (gives nine fragments from Leo Grammaticus and Pseudo-Polydeuces with parallels in other Byzantine chroniclers).

Staehle, Karl, *Die Zahlenmystik bei Philon von Alexandreia.* Leipzig-Berlin, 1931 (gives about a dozen fragments from Johannes Lydus).

Lewy, Hans, *Neue Philontexte in der Ueberarbeitung des Ambrosius* mit einem Anhang : *Neu gefundene griechische Philonfragmente.* Berlin, 1932 (gives about a dozen fragments from the *Sacra Parallela* of John of Damascus and the Catenae).

Früchtel, Ludwig, " Griechische Fragmente zu Philons Quaestiones in Genesin et in Exodum," *Zeitschrift für die alttestamentliche Wissenschaft*, N.F. 14 (1937), 108-115 (locates several fragments listed by Harris as " unidentified ").

Three of Harris' " unidentified " fragments have been located by Emile Bréhier, *Les Idées philosophiques et religieuses de Philon d'Alexandrie*, 2nd ed., Paris, 1925.

The reader is asked to overlook some inconsistencies in abbreviations, forms of citation, etc., in the following pages. They are largely due to the fact that I have in most cases followed the style set by the modern authorities listed above.

GENESIS, BOOK I

1. (Gen. ii. 4) *Διὰ τί τὴν κοσμοποιΐαν ἐπιλογιζόμενος φησὶ Μωϋσῆς· " αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο ";*

Τὸ μὲν " ὅτε ἐγένετο " ἀόριστον[a] *ἔοικε χρόνον ἐμφαίνειν· τοῦτο δ' ἐστὶν ἔλεγχος δυσωπῶν τοὺς συγκεφαλαιουμένους ἀριθμὸν ἐτῶν, ἀφ' οὗ τὸν κόσμον οἴονται γενέσθαι· τὸ δὲ " αὕτη ἡ βίβλος γενέσεως " ἤτοι δεικτικόν ἐστι τοῦ ὑποκειμένου τεύχους, ὃ τὴν κοσμοποιΐαν περιέχει· <ἐν ἐκείνῳ γὰρ> ἡ ἀναφορὰ τῶν εἰρημένων περὶ τῆς κοσμοποιίας πρὸς τὰ ἐπ' ἀληθείας γεγονότα.*

Lewy, p. 55, from *Sacra Parallela* of John of Damascus, Cod. Hierosolymitanus S. Sep. fol. 124r and Cod. Constantinopolitanus Metochion 274, *ἐκ τῶν ἐν Γενέσει ζητημάτων.*

17. (Gen. ii. 18)

Φίλους ἡγητέον τοὺς βοηθεῖν καὶ ἀντωφελεῖν ἐθέλοντας καὶ ἂν μὴ δύνωνται. φιλία γὰρ <οὐκ> ἐν τῷ χρειώδει μᾶλλον ἢ κράσει καὶ συμφωνίᾳ βεβαίῳ τῶν ἠθῶν, ὡς ἕκαστον τῶν συνελθόντων εἰς φιλικὴν κοινωνίαν τὸ Πυθαγόρειον ῥῆμα ἐπιφθέγξασθαι, ὅτι " ἆρά ἐστι φίλος ἕτερον ὡς ἐγώ."

Harris, p. 12, from Dam. Par. 788 (Cod. Rupef. f. 275) *ἐκ τοῦ α' τῶν ἐν Γενέσει ζητημάτων.* " The first sentence (with change to the singular number) in Maximus (ii. 548) and Anton Melissa, col. 849."

20. (Gen. ii. 19)

Ἀνδρὸς δὲ ἐπιστημονικωτάτου καὶ φρονήσει διαφέροντος οἰκειότατον τοῦτο τὸ ἔργον· οὐ σοφῷ μόνον ἀλλὰ καὶ τῷ πρώτῳ γηγενεῖ[b] *τῶν ὀνομάτων ἡ θέσις· ἔδει γὰρ ἡγεμόνα μὲν τοῦ ἀνθρωπείου, βασιλέα δὲ τῶν γηγενῶν πάντων καὶ τοῦτο λαχεῖν γέρας ἐξαίρετον*

[a] *ἀόριστον* ex Arm. Lewy : *ἄριστον* codd.
[b] *γηγενεῖ* ex Arm. Harris : *εὐγενεῖ* codd.

ἵνα, ὥσπερ πρῶτος ᾔδει τὰ ζῷα, καὶ πρῶτος ἀξιωθῇ τῆς ἐπὶ πᾶσιν ἀρχῆς καὶ πρῶτος εἰσηγητὴς καὶ εὑρετὴς γένηται τῶν ἐπωνυμιῶν. Ἄτοπον γὰρ ἦν ἀνώνυμα αὐτὰ καταλειφθέντα ὑπό τινος νεωτέρου προσονομασθῆναι ἐπὶ καταλύσει τῆς τοῦ πρεσβυτέρου τιμῆς τε καὶ εὐκλείας.

Harris, pp. 12-13, from Dam. Par. 748 (Cod. Rupef. f. 21 b) " with reference to the questions on Genesis."

21. (Gen. ii. 19) *Ἤγαγεν ὁ θεὸς τὰ ζῷα πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά.*

Οὐ γὰρ ἐνδυάζει θεός· ἀλλ' ἐπειδὴ νοῦν ἔδωκε τῷ ἀνθρώπῳ τῷ πρωτογενεῖ καὶ σπουδαίῳ καθ' ὃ ἐπιστημονικὸς ὢν πέφυκε λογίζεσθαι, καθάπερ ὑφηγητὴς γνώριμον κινεῖ πρὸς ἐπίδειξιν οἰκείαν καὶ ἀφορᾷ τὰ ἄριστα αὐτοῦ τῆς ψυχῆς ἔγγονα. Φανερῶς δὲ πάλιν καὶ διὰ τούτου πᾶν τὸ ἑκούσιον καὶ ἐφ' ἡμῖν διατυποῖ, τοὺς πάντα κατ' ἀνάγκην εἶναι λέγοντας δυσωπῶν. Ἢ ἐπεὶ ἔμελλον οἱ ἄνθρωποι χρῆσθαι, διὰ τοῦτο ἄνθρωπον αὐτὰ θέσθαι προσέταττεν.

Harris, p. 13, from Dam. Par. p. 748 (Cod. Rupef. f. 21 b), *ἐκ τῶν ἐν Γενέσει ζητουμένων.*

24. (Gen. ii. 21)

Ὁ ὕπνος κατὰ τὸν προφήτην ἔκστασίς ἐστιν, οὐχὶ κατὰ μανίαν, ἀλλὰ κατὰ τὴν τῶν αἰσθήσεων ὕφεσιν καὶ τὴν ἀναχώρησιν τοῦ λογισμοῦ. Τότε γὰρ αἱ μὲν αἰσθήσεις ἐξίστανται τῶν αἰσθητῶν,[a] *ὁ δὲ οὐκέτι νευροσπαστῶν οὐδὲ παρέχων κίνησιν αὐταῖς ἠρεμεῖ, αἱ δὲ τὰς ἐνεργείας ἀποτετμημέναι τῷ διεζεῦχθαι τῶν αἰσθητῶν ἀκίνητοι καὶ ἀργαὶ ὑπεκλέλυνται.*

Harris, pp. 13-14, from Joh. Monachus (Mangey ii. 667 = Cod. Rupef. f. 265), and Cod. Reg. 923, f. 342 b.

27. (Gen. ii. 21)

Ἀποικίαν στέλλεται γυνὴ τὴν ἀπὸ γονέων πρὸς τὸν ἄνδρα· διὸ προσήκει τὸν μὲν ὑποδεξάμενον ἀντιλαβεῖν τὴν τῶν δεδωκότων εὔνοιαν, τὴν δὲ μετελθοῦσαν, ἣν τοῖς σπείρασι τιμὴν παρεῖχε, τῷ λαβόντι διδόναι· παρακαταθήκην γὰρ ἀνὴρ ἐγχειρίζεται γυναῖκα παρὰ γονέων, γυνὴ δὲ τὸν ἄνδρα παρὰ τῶν νόμων.

Lewy, p. 55, from Dam. Par. Rec. Rupef. f. 243^{v}, *Φίλωνος.*

[a] Post *αἰσθητῶν* verba *καὶ ὁ λογισμός ἀναχωρεῖ ἐκ τῶν αἰσθήσεων* ex Arm. suppl. Harris.

28. (Gen. ii. 23)
Ὡς προφήτης φησίν, οὔτε γεγονέναι ἐκ συνομιλίας οὔτε ἐκ γυναικός, ὡς οἱ μετέπειτα, ἀλλά τινα φύσιν ἐν μεθορίῳ καθάπερ ἀπὸ ἀμπέλου κληματίδος ἀφαιρεθείσης εἰς ἑτέρας ἀμπέλου γένεσιν.
Harris, p. 14, from Dam. Par. 748 (Cod. Rupef. f. 21 b), *ἐκ τῶν ἐν Γενέσει ζητουμένων.*

29. (Gen. ii. 24) *Διό φησιν· "Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ· καὶ ἔσονται δύο εἰς σάρκα μίαν";*
. . . *τὸ εὐαφέστατον καὶ αἰσθητικώτατον, ἐν ᾧ καὶ τὸ ἀλγεῖν καὶ τὸ ἥδεσθαι.*
Harris, p. 14, from Dam. Par. 748 (Mangey ii. 654 = Cod. Rupef. f. 21 b), *ἐκ τῶν ἐν Γενέσει ζητουμένων.*

31. (Gen. iii. 1)
Φρόνιμος δὲ ἐκλήθη ὁ ὄφις ὅτι τὸ λογικὸν ζῷον τὸν ἄνθρωπον καὶ τῶν ἄλλων ἀγχινοίᾳ διαφέροντα ἐξαπατᾶν ἔμελλεν.
Praechter, p. 420, from Ps.-Polydeuces, pp. 30, 25–32, 1 (*cf.* Theod. Mel. p. 7, 31-32, Cedr. p. 10, 10-12).

32. (Gen. iii. 1)
Ἆρα δὲ καὶ ὁ ὄφις τῷ κατὰ προφορὰν λόγῳ ἐχρήσατο; οὐ πάντως, ἀλλ' οἱ πρωτόπλαστοι ἅτε κακίας ὄντες ἀμιγεῖς ἀκριβεστάτας εἶχον τὰς αἰσθήσεις καὶ πολὺ τῶν ἡμετέρων διαλλαττούσας ὥστε τὴν ἀκοὴν αὐτῶν πάσης ὑπάρχειν φωνῆς ἀκουστικήν.
Praechter, pp. 416-417, from Ps.-Polydeuces, p. 32, 8-12 (*cf.* Sym. Log. p. 910, 16-20, Theod. Mel. p. 8, 4-8, Cedr. p. 10, 12-16).

41. (Gen. iii. 7)
Ὡς γὰρ ἡδὺς ὁ καρπὸς τῆς συκῆς, τραχὺ καὶ πικρότατον τὸ φύλλον, οὕτως πᾶσα ἁμαρτία ἐν τῇ πράξει δείκνυται ἡδεῖα, μετὰ δὲ ταῦτα ὀδύνην παρέχει τῷ πεπραχότι.
Praechter, p. 417, from Ps.-Polydeuces, p. 36, 13-16 (*cf.* Sym. Log. pp. 911, 28–912, 2, Theod. Mel. p. 9, 10-13, Cedr. p. 14, 19-21—" stark verflacht ").

51. (Gen. iii. 19) Τί *ἐστιν· " ἕως τοῦ ἐπιστρέψαι σε εἰς τὴν γῆν*

ἐξ ἧς ἐλήφθης"; οὐ γὰρ ἐκ γῆς διεπλάσθη μόνον ὁ ἄνθρωπος ἀλλὰ καὶ θείου πνεύματος.

Ἐπειδὴ δὲ οὐ διέμεινεν ἀδιάστροφος, προστάξεως θείας ἠλόγηκε καὶ τοῦ κρείττονος μέρους ἀποτεμνόμενος οὐρανομίμητον πολιτείαν ὅλον αὐτὸν προσένειμε τῇ γῇ. Εἰ μὲν γὰρ ἀρετῆς, ἥτις ἀθανατίζει, ἐραστὴς ἐγένετο, πάντως ἂν ἐλάμβανε κλῆρον τὸν οὐρανόν· ἐπειδὴ δὲ ἡδονὴν ἐζήτησε, δι' ἧς ψυχικὸς θάνατος ἐπιγίνεται, τῇ γῇ προσενεμήθη.

Harris, p. 15, from Dam. Par. 748 (Cod. Rupef. f. 20 b), *ἐκ τῶν ἐν Γενέσει ζητουμένων.*

55. (Gen. iii. 22)

Οὔτε ἐνδυασμὸς οὔτε φθόνος περὶ θεόν· χρῆται δὲ πολλάκις ὀνόμασιν ἐνδυαστικοῖς ἢ διανοητικοῖς κατ' ἀναφορὰν ἐπὶ τὸ "ὡς ἄνθρωπος" κεφάλαιον. Διττὰ γάρ, ὡς πολλάκις ἔφην, ἐστὶν τὰ ἀνωτάτω κεφάλαια· τὸ μὲν "οὐκ ὡς ἄνθρωπος ὁ θεός," τὸ δὲ "ὡς ἄνθρωπος παιδεύει τὸν υἱόν." Τὸ μὲν πρότερον ἐξουσίας, τὸ δὲ δεύτερον παιδείας καὶ εἰσαγωγῆς ἐστιν.

Harris, p. 15, from Parallels of Joh. Monachus (Mangey ii. 669 = Cod. Rupef.), *ἐκ τῶν αὐτῶν = ἐκ τοῦ β' τῶν ἐν Γενέσει ζητημάτων.*

Ἄλλος δέ φησιν ὡς οὐκ ἐνδοιάζει τὸ θεῖον κἂν ἐνδοιαστικοῖς ὀνόμασι χρῆται. Διττὰ γάρ ἐστι τὰ ἀνωτάτω κεφάλαια, τὸ μὲν "οὐχ ὡς ἄνθρωπος ὁ θεός," τὸ δὲ "ὡς ἄνθρωπος παιδεύει τὸν υἱόν, οὕτως κύριος ὁ θεὸς παιδεύσει σε." Τὸ μὲν οὖν πρότερον ἐξουσίας ἐστί, τὸ δὲ δεύτερον παιδείας καὶ ἐξαγωγῆς, ἵνα καὶ τὸ ἑκούσιον παρεισέλθῃ. Τὸ γὰρ "μήποτε" οὐκ ἔστιν ἐπαμφοτερισμὸς τοῦ θεοῦ ἀλλ' ἀναφορὰ πρὸς ἄνθρωπον τὸν ἐπαμφοτεριστὴν τῇ φύσει καὶ μήνυμα τοῦ περὶ ἐκεῖνον πάθους· ὅταν γὰρ προσπέσῃ τινὸς φαντασία, τρία εὐθὺς ἐπιγίνεται, ἀφορμὴ ἐκ τοῦ φανέντος, ὁρμὴ πρὸς τὸ φανέν, τρίτον ἐνδοιασμὸς ἀμφικλινῆς ἀντισπωμένης τῆς ψυχῆς, εἴθ' αἱρετέον εἴτε μή. Πρὸς δὴ τοῦτο τὸ τρίτον τὸ "μήποτε" ἀναφέρεται.

Wendland, pp. 36-37, from Procopius 225 B.

59. (Gen. iv. 2)

Ὅρα δὲ πῶς ἐν μὲν τῇ γενέσει τὸν Κάϊν προέταξε κατὰ τάξιν

τὴν χρονικήν, ἐν δὲ τοῖς ἐπιτηδεύμασι προτάττει τὸν δίκαιον· τὰ γὰρ ἔμψυχα τῶν ἀψύχων τῷ τῆς φύσεως λόγῳ διαφέρει, καὶ ἡ ποιμαντικὴ προοιμιάζεται τὴν ἑαυτοῦ τε καὶ ἄλλων ἀρχήν. Οὐκ ἐρρήθη δὲ γεωργὸς ὁ Καΐν, ἀλλ' ἐργαζόμενος τὴν γῆν. Οὐ γὰρ ἦν ἀστεῖος κατὰ τὸν Νῶε, ὅστις γεωργός, οὐκ ἐργάτης εἴρηται.

Wendland, p. 37, from Procopius 233 D, " . . . aber Pr. oder sein Gewährsmann benutzt vielleicht am Schluss ein verlorenes Stück der Quaest."

60. (Gen. iv. 34)

Ὅρα τοίνυν φιλαύτου καὶ φιλοθέου διαφοράν· ὁ μὲν μεθ' ἡμέρας ἀλλ' οὐκ εὐθὺς καὶ ἀπὸ τῶν καρπῶν, ἀλλ' οὐκ ἀπὸ τῶν πρώτων καὶ τούτων ἐστὶ διανομεὺς πρὸς θεόν· τοιαύτη γὰρ ἡ θυσία· ὁ δὲ τὰ πρωτότοκα μηδὲν μελλήσας καθιεροῖ καὶ τοῦ προσενεχθέντος παντὸς παραχωρεῖ τῷ θεῷ· ἐπεῖδε[a] *γὰρ ὁ θεὸς ἐπὶ τοῖς δώροις αὐτοῦ· δωρητικός, οὐ διανομεὺς γεγονώς. Ὅρα δὲ καὶ ὅτι ὅσον ἐκ τῆς τάξεως ἀρξαμένου πρώτου, τοῦ Καΐν δευτέρου μέμνηται λέγων· " ἐπεῖδεν ὁ θεὸς ἐπὶ Ἄβελ, ἐπὶ δὲ Καΐν καὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν."*

Wendland, p. 38, from Procopius 236 A.

Οὕτως οἶμαι τὰ πρωτότοκα καθιερῶν ὁ Ἄβελ[b] *φιλόθεον μᾶλλον ἢ φίλαυτον τὴν ἑαυτοῦ συνίστησι προαίρεσιν. Ἑαυτῷ δὲ ὁ Καΐν ἀπονέμων τὰ γεννήματα καὶ τῶν δευτεριῶν*[c] *ἀσεβῶς τὸν θεὸν ἀξιῶν τῷ καὶ μεθ' ἡμέρας ἀλλὰ μὴ εὐθέως προσενεγκεῖν φίλαυτος μᾶλλον ἢ φιλόθεος ἐξελέγχεται.*

Praechter, p. 418, from Leo Grammaticus, pp. 244, 34–245, 21 (*cf.* Theod. Mel., pp. 11, 18–12, 13, Ps.-Polydeuces, pp. 44, 8–46, 11).

61. (Gen. iv. 4-5)

Οὕτως οὐχ ἡ τάξις τὸ πρωτεῖον ἀλλ' ἡ γνώμη χαρίζεται.

Wendland, p. 38, from Procopius 236 A.

[a] *ἐπεῖδε* Wendland : *ἐπειδὴ* codd.

[b] *καθιερῶν ὁ Ἄβελ* edd. : *καθιεροῦν(τα) τὸν Ἄβελ* codd. : *καθιέρωσεν Ἄβελ* Sym. Log., Cod. Vind. 91.

[c] *δευτερείων* corr. Praechter.

62. (Gen. iv. 4-5)

Ζητῶν τίνι διαφέρει δῶρον θυσίας, εὑρίσκω ὅτι ὁ μὲν θύων ἐπιδιαιρεῖ, τὸ μὲν αἷμα τῷ βωμῷ προχέων, τὰ δὲ κρέα οἴκαδε κομίζων· ὁ δὲ δωρούμενος ὅλον ἔοικε παραχωρεῖν τῷ λαμβάνοντι· ὁ μὲν οὖν φίλαυτος διανομεὺς οἷος ὁ Κάϊν, ὁ δὲ φιλόθεος δώρηται οἷον[a] *ὁ Ἄβελ.*

Harris, p. 15, from Cramer, Catena in Heb., p. 580 (Cod. Paris, 238).

Διαφέρει δὲ δῶρον θυσίας, ὅτι ὁ μὲν θύων ἐπιδιαιρεῖ τὸ μὲν αἷμα τῷ βωμῷ προσχέων, τὰ δὲ κρέα οἴκαδε κομίζων, ὁ δὲ δωρούμενος ὅλου[b] *ἔοικε παραχωρεῖν τῷ λαμβάνοντι.*

Wendland, p. 38, from Procopius 237 B (*cf.* Gennadius, Cat. Lips. 108).

Ἔοικε γὰρ ἐπιδιαιρεῖν ὁ θύων καὶ τὸ μὲν αἷμα τῷ θυσιαστηρίῳ προχέειν,[c] *τὰ δὲ κρέα οἴκαδε ἀποκομίζειν,*[d] *ὁ δὲ δωρούμενος πάντῃ*[e] *τῷ λαμβάνοντι παραχωρεῖ τὸ δῶρον.*

Praechter, p. 418, from Leo Grammaticus, pp. 244, 34–245, 21 (*cf.* Theod. Mel. pp. 11, 18–12, 13, Ps. - Polydeuces, pp. 44, 8–46, 11).

64. (Gen. iv. 7)

(*a*) *Ὀρθὴ δὲ διαίρεσις καὶ τομὴ*[f] *οὐδὲν ἕτερόν ἐστιν ἢ τάξις καθ' ἣν ὁ κόσμος δεδημιούργηται. Καὶ ταύτην δεῖ κατὰ πάντα τοῦ βίου μιμεῖσθαι τὰ πράγματα καὶ μάλιστα ἐν χαρίτων ἀμοιβαῖς.*

Wendland, p. 39, from Procopius 237 D.

(*b*) *Τὸ μὲν οὖν εὐχαριστεῖν τῷ θεῷ καθ' ἑαυτὸ*[g] *ὀρθῶς ἔχον ἐστί, τὸ δὲ μήτε πρώτῳ μήτε ἐκ τῶν πρώτων ἀπαρχόμενον ψεκτόν. Οὐ γὰρ δεῖ τὰ μὲν πρεσβεῖα τὴν γένεσιν ἑαυτῇ, τὰ δὲ δεύτερα τῷ ἀγενήτῳ προσ-*

Τὸ εὐχαριστεῖν θεῷ καθ' ἑαυτὸ ὀρθῶς ἔχον ἐστί· τὸ δὲ μήτε πρῶτον μήτε ἐκ τῶν πρώτων ἀπαρχόμενον ψεκτόν. Οὐ γὰρ δεῖ τὰ μὲν πρεσβεῖα ἐν τῇ γενέσει τιθέναι,[h] *τὰ δὲ δεύτερα τῷ δωρησαμένῳ θεῷ προσ-*

[a] *δωρητικὸς οἷος* con. Harris. [b] *ὅλον* Mai.
[c] *προσχέων* Theod. Mel. et Cod. Vat. 163.
[d] *κομίζειν* Ps.-Polydeuces.
[e] edd. : *παντὶ* codd.
[f] *τομὴ* Wendland : *τὸ μὴ* codd.
[g] *ἑαυτὸ* Wendland : *ἑαυτὸν* codd.
[h] *ἑαυτῷ τιθέναι* con. Harris.

νέμειν, ὅπερ ἐξ ἀληθείας οὐκ ἔστιν εὐχαριστεῖν.

Wendland, p. 39, from Procopius 237 D (continuing frag. (*a*)).

φέρειν. Ἧδε ἐστὶν ἐπίληπτος διαίρεσις, ἀταξίαν τινὰ τάξεως εἰσηγουμένη.

Harris, p. 16, from Joh. Monachus (Mangey ii. 668 = Cod. Rupef. f. 269 b).

65. (Gen. iv. 7)

Τὸ μὴ ἁμαρτάνειν μηδὲν τὸ παράπαν μέγιστον ἀγαθόν· τὸ ἁμαρτάνοντα ἐντραπῆναι συγγενὲς ἐκείνου, νεώτερον, ὡς ἂν τις εἴποι, παρὰ πρεσβύτερον. Εἰσὶ γὰρ οἱ ἐπὶ ἁμαρτανομένοις ὡς ἐπὶ κατορθώμασιν ἀγαλλόμενοι δυσίατον, μᾶλλον δὲ ἀνίατον νόσον ἔχοντες.

Harris, p. 16, from Dam. Par. 751 (=Cod. Rupef. f. 46 b), ἐκ τῶν ἐν Γενέσει ζητουμένων.

Μέγιστον μὲν γὰρ ἀγαθὸν τὸ μηδὲν ἁμαρτεῖν, δεύτερον δὲ τὸ ἐντραπῆναι τοῖς ἁμαρτήμασιν· ὁ δὲ διὰ τὴν ἀτιμίαν, οὐ τὴν ἁμαρτίαν λελύπητο.

Wendland, p. 39, from Procopius 237 D.

66. (Gen. iv. 7)

Οἷς ἀντιλέγοντες ἕτεροι οὐ περὶ τοῦ θεοσεβοῦς λέγειν φασίν, ἀλλὰ περὶ τοῦ πραχθέντος ἔργου. Φησὶ γὰρ αὐτῷ ὅτι τούτου τοῦ ἀσεβήματος ἡ ἀποστροφὴ καὶ ἡ ἀναφορὰ πρὸς σέ ἐστιν, ἵνα τὸ ἑκούσιον παραστήσῃ· "καὶ σύ," φησίν, "ἄρξεις αὐτοῦ," πρῶτος γὰρ ἀσεβεῖν ἦρξεν[a]· ἕπεται δὲ ὡς κρηπῖδι τῇ ἀσεβείᾳ καὶ τὰ λοιπὰ πλημμελήματα ὡς ἔξαρχον καὶ ἡγεμόνα παντὸς ἀδικήματος ἑκουσίου τοῦτον[b] εἶναι.

Wendland, p. 40, from Procopius 240 B.

68. (Gen. iv. 9) Πυνθάνεται θεός· ποῦ Ἄβελ ὁ ἀδελφός σου; Οὐχ ὡς ἀγνοῶν· τοιγαροῦν ἀρνούμενον ἤλεγξεν· ἀλλ' ἐπισκοπῆς πρὸς ἰατρείαν αὐτὸν ἀξιῶν καὶ ἐφιστῶν αὐτὸν τῷ μεγέθει τοῦ πλημμελήματος καὶ πρόφασιν μετανοίας διδοὺς καὶ δεικνὺς δι' ὅλης τῆς νομοθεσίας ὡς παρ' ἡμᾶς ἐστι τἀδικήματα· ὁ μὲν γὰρ ἄκων πράξας ὁμολογεῖ συγγνώμην αἰτῶν, ὁ δὲ ἑκὼν ἀρνεῖται.

Wendland, pp. 40-41, from Procopius 240 D ("Das philo-

[a] ἦρξας ex Arm. con. Wendland. [b] τοῦτο Cod. Aug.

nische Original ist zum Teil erhalten in Barberinus VI 8 f. 82 unter dem falschen Titel *φίλωνος ἐπισκόπου*: *οὐχ ὡς ἀγνοῶν τοιγαροῦν τὸν ἀρνούμενον* bis *διδοὺς* ohne Abweichungen vom Texte des Pr.").

69. (Gen. iv. 9) *Ὡς δὲ τῆς μετανοίας ἠλλάξατο τὴν ἀναίδειαν εἰπὼν ἀγνοεῖν καὶ μὴ φύλαξ εἶναι τοῦ ἀδελφοῦ.*

Καίτοι τεττάρων ὄντων ἀνθρώπων, οὓς εἰκὸς ἦν μηδὲ πόρρω λίαν ἀλλήλων καθίσασθαι, καὶ παντὸς μᾶλλον τὸν ἀδελφὸν φυλάττειν ὀφείλοντος, ἔτι δὲ καὶ ἄθεον δεικνύντος ὑπόληψιν τῷ μὴ νομίζειν πάντα τὸν θεῖον ἐφορᾶν ὀφθαλμόν.

Wendland, p. 41, from Procopius 241 A.

70. (Gen. iv. 10)

Τί δ' ἐστιν "φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς";

Δογματικώτατόν ἐστιν· τὸ γὰρ θεῖον ὁσίων μὲν ὑπακούει, κἂν τελευτήσωσι, ζῆν αὐτοὺς ὑπολαμβάνον τὴν ἀσώματον ζωήν, εὐχὰς δὲ φαύλων ἀποστρέφεται, κἂν εὐεξίᾳ χρήσωνται, νομίζον αὐτοὺς τὸν ἀληθῆ βίον τεθνάναι, τὸ σῶμα οἷον τύμβον περιφέροντας, ᾧ τὴν πανάθλιον ψυχὴν ἐγκατώρυξαν.

Lewy, p. 55, from Dam. Par., Cod. Len. f. 27ᵛ, *Φίλωνος Ἑβραιου* (*cf.* Cod. Barb. f. 82ᵛ, Cod. Mosqu. 124ʳ).

Δικαίων γὰρ ἐπακούει (*sc.* *ὁ θεός*), *κἂν τελευτήσαντες ὦσιν, ἀδίκων δὲ καὶ αὐτὰς ἀποστρέφεται τὰς εὐχάς· τοὺς μὲν γὰρ καὶ τεθνεῶτας νενόμικε ζῆν, τοὺς δὲ καὶ ζῶντας τὴν ἀληθῆ κέκρικε τεθνηκέναι ζωήν.*

Praechter, p. 419, from Leo Grammaticus, p. 245, 27-30 (*cf.* Theod. Mel. p. 12, 18-20, Ps.-Polydeuces, p. 46, 15-17).

Φησὶν ὁ θεός· "φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με."

Δυνατὸν δέ καὶ τὸ αἷμα ἀντὶ τῆς ψυχῆς ἐνταῦθα εἰρῆσθαι, καὶ ἔστι δογματικώτατον· τὸ γὰρ θεῖον ὁσίων μὲν ὑπακούει, κἂν τελευτήσωσι, ζῆν αὐτοὺς ὑπολαμβάνον τὴν ἀθάνατον ζωήν, εὐχὰς δὲ φαύλων ἀποστρέφεται, κἂν εὐεξίᾳ χρήσωνται, νομίζον αὐτοὺς τὸν ἀληθῆ βίον τεθνάναι.

Wendland, p. 41, from Procopius 241 A.

72. (Gen. iv. 12)
Λόγιον δέ, φασίν, ἐστὶ καὶ τοῦτο καθολικώτατον· παντὶ γὰρ φαύλῳ τῶν κακῶν τὸ μὲν ἤδη πρόσεστι, τὰ δὲ μέλλει· τὰ μὲν οὖν μέλλοντα φόβους, τὰ δὲ παρόντα λύπας ἐργάζεται.[a]
Wendland, pp. 41-42, from Procopius 241 D (" Das philonische Original ist erhalten in Barb. VI 8 f. 83 ").

73. (Gen. iv. 13)
Οὐκ ἔστι συμφορὰ μείζων ἢ τὸ ἀφεθῆναι καὶ καταλειφθῆναι ὑπὸ θεοῦ.
Wendland, p. 42, from Procopius 243 B.

74. (Gen. iv. 14) *Τίνα δὲ δέδοικεν ὁ Κάϊν μηδενὸς ὄντος πλὴν αὐτοῦ καὶ τῶν γονέων;*
Προσεδόκα δέ, φασί, καὶ τὴν ἐκ τῶν μερῶν τοῦ κόσμου ἐπίθεσιν ἅπερ ἐπ' ὠφελείᾳ γενόμενα[b] *οὐδὲν ἧττον ἀμύνεται τοὺς πονηρούς, εἶτα καὶ τὴν ἀπὸ τῶν θηρίων καὶ ἑρπετῶν ἐπιβουλήν, ἅπερ ἡ φύσις ἐπὶ τιμωρίᾳ τῶν ἀδίκων ἐγέννησεν.*[c] *Ἴσως δὲ καὶ τὴν ἀπὸ τῶν γονέων τίσιν ὑπονοεῖ, οἷς κοινὸν πένθος προσέβαλεν ἀγνοοῦσι τὸν θάνατον.*
Wendland, p. 42, from Procopius 245 A.

76. (Gen. iv. 15)
Τὸ μὲν γὰρ τελευτῆσαι τῶν ἐν τῷ βίῳ πονηρῶν ἐπάγει τὴν κατάπαυσιν· τὸ δὲ ζῆν ἐν φόβῳ καὶ λύπῃ μορίους ἐπάγει τοὺς σὺν αἰσθήσει[d] *θανάτους.*
Praechter, p. 419, from Leo Grammaticus, p. 246, 11-13 (*cf.* Theod. Mel. p. 13, 10-12).

77. (Gen. iv. 23)
Ὁ μὲν Κάϊν,[e] *ἐπειδὴ τὸ μέγεθος τοῦ ἄγους ἠγνόησε, τοῦ μηδέποτε περιπεσεῖν θανάτῳ, τιμωρίας δίδωσιν ἁπλουστέρας. Ὁ*

[a] *ἀπεργάζεται* Cod. Barb.
[b] *γενόμενα* Wendland : *γινόμενα* codd.
[c] *τίνα . . . ἐγέννησεν*, cf. Cat. Lips. 112, *Ἀδήλου.*
[d] *συναισθήσει* Theod. Mel. : *ἐν συνεσθήσει* Sym. Log., Cod. Vind. : *ἐν αἰσθήσει* con. Praechter.
[e] add. *ἴσως* Cod. Reg.

δὲ μιμητὴς ἐκείνου, μὴ δυνάμενος εἰς τὴν αὐτὴν[a] *ἀπολογίαν τῆς ἀγνοίας συμφυγεῖν,*[b] *δεκαπλᾶς*[c] *εἰκότως ὑπομένει δίκας. . . . Διὰ τοῦτο "ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά"· διὰ τὴν εἰρημένην αἰτίαν, καθ' ἣν ὁ δεύτερος ἁμαρτὼν καὶ μὴ σωφρονισθεὶς τῇ τοῦ προηδικηκότος τιμωρίᾳ τήν τε ἐκείνου παντελῶς ἀναδέχεται ἁπλουστέραν οὖσαν, καθάπερ ἐν ἀριθμοῖς αἱ μονάδες ἔχουσι, καὶ πολυπλασιωτέραν,*[d] *ὁμοιουμένην ταῖς ἐν ἀριθμοῖς δεκάσιν. ἣν γνωσιμαχῶν Λάμεχ καθ' ἑαυτοῦ.*[e]

Harris, p. 17, from Dam. Par. 776 (Cod. Rupef. and Cod. Reg. 923, f. 356 b).

79. (Gen. iv. 26)

Ἐλπίς ἐστι προπάθειά τις χαρᾶς[f] *πρὸ χαρᾶς, ἀγαθῶν οὖσα προσδοκία.*

Harris, p. 17, from Anton Melissa (*Patr. Gr.* 136, col. 789).

81. (Gen. v. 3)

Καὶ τὸ μὲν ἐκ Κάϊν γένος μέχρι τούτου μνήμης τῆς ἐν βίβλοις ἠξίωται, τοῦ δὲ[g] *ἀριθμοῦ τῶν πατέρων*[h] *ἀποκεκήρυκται, ἵνα μηδὲ τοῖς πρώτοις εἴη συνταττόμενος μηδὲ τῶν ἑξῆς ἀφηγουμένοις,*[i] *διὰ δὲ τὸ τῆς προαιρέσεως ἄγριον ὥσπερ ἐπὶ τὴν ἄλογον ἐκ τῆς λογικῆς φύσεως ἐξώρισται.*

Praechter, pp. 419-420, from Ps.-Polydeuces, p. 54, 9-14 (*cf.* Leo Grammaticus, p. 246, 26-29, Theod. Mel. p. 13, 24-27).

85. (Gen. v. 23-24)

Ἤδη τινὲς ἀψίκοροι γευσάμενοι καλοκἀγαθίας καὶ ἐλπίδα παρασχόντες ὑγιείας εἰς τὴν αὐτὴν ἐπανέστρεψαν νόσον.

Harris, p. 17, from Dam. Par. 784 ("apparently as *ἐκ τῶν ἐν Ἐξόδῳ ζητημάτων*, an easy confusion").

[a] *αὐτὴν* om. Cod. Reg.
[b] *καταφυγεῖν* Cod. Rupef.
[c] *διπλᾶς* Cod. Rupef.
[d] *τιμωρίᾳ . . . πολυπλασιωτέραν*] *τιμωρίᾳ οὐ μόνον τῇ ἐκείνου παντελῶς ἀναδέχεσθαι ἀλλὰ καὶ πολὺ πλειοτέραν* Cod. Reg.
[e] *ἣν . . . ἑαυτοῦ* susp. Harris.
[f] Harris : *χαρὰ* codd.
[g] *τοῦ δὲ* Praechter cum par. : *καὶ τοῦ* Ps.-Polydeuces.
[h] *πρώτων* Sym. Log. et Leo Grammaticus.
[i] *ἀφηγούμενος* mal. Praechter cum Sym. Log. et Leo. Grammatico.

89. (Gen. vi. 1)
Ἀεὶ φθάνουσι τὴν δίκην αἱ τοῦ θεοῦ χάριτες. Ἔργον γὰρ αὐτῷ προηγούμενον τὸ εὐεργετεῖν, τὸ δὲ κολάζειν ἑπόμενον. Φιλεῖ δέ, ὅταν μέλλῃ μεγάλα συνίστασθαι κακά, μεγάλων καὶ πολλῶν ἀγαθῶν ἀφθονία προγενέσθαι.
Harris, p. 18, from Joh. Monachus (Mangey ii. 670), *ἐκ τῶν ἐν Ἐξόδῳ ζητουμένων.*

92. (Gen. vi. 4)
Πνευματικαὶ τῶν ἀγγέλων οὐσίαι· εἰκάζονται δὲ πολλάκις ἀνθρώπων ἰδέαις, πρὸς τὰς ὑποκειμένας χρείας μεταμορφούμενοι.
Harris, p. 18, from Dam. Par. 309, 772, *ἐκ τοῦ α′ τῶν ἐν Γενέσει ζητουμένων.*

93. (Gen. vi. 6)
Ἔνιοι νομίζουσι μεταμέλειαν ἐμφαίνεσθαι περὶ τὸ θεῖον διὰ τῶν ὀνομάτων· οὐκ εὖ δὲ ὑπονοοῦσι. χωρὶς γὰρ τοῦ μὴ τρέπεσθαι τὸ θεῖον, οὔτε τὸ “ ἐνεθυμήθη ” οὔτε τὸ “ ἐνενόησεν ” δηλωτικὰ μεταμελείας ἐστίν—τὸ δὲ θεῖον ἄτρεπτον—ἀλλ᾿ ἀκραιφνοῦς λογισμοῦ περιεσκεμμένου τὴν αἰτίαν, ἧς ἕνεκα ἐποίησεν τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς.
Harris, p. 18, from Joh. Monachus (Mangey ii. 669), *ἐκ τῶν β′ τῶν ἐν Γενέσει ζητημάτων.*

94. (Gen. vi. 7)

Διὰ τί ἄνθρωπον ἀπειλῶν ἀπαλεῖψαι καὶ τὰ ἄλογα προσδιαφθείρει;
Διότι οὐ προηγουμένως δι᾿ ἑαυτὰ γέγονε τὰ ἄλογα ἀλλὰ χάριν ἀνθρώπων καὶ τῆς τούτων ὑπηρεσίας, ὧν διαφθειρομένων εἰκότως καὶ ἐκεῖνα συνδιαφθείρεται, μηκέτι ὄντων δι᾿ οὓς γέγονε. [Ἐκ τούτου δῆλον ὅτι διὰ τὸν ἄνθρωπον πάντα τὰ

Διὰ τί ἀπειλῶν τὸν ἄνθρωπον ἀπαλείψειν[a] *καὶ τὰ ἄλογα*[b] *προσδιαφθείρει;*
Ὅτι οὐ προηγουμένως δι᾿ ἑαυτὰ γέγονεν τὰ ἄλογα ἀλλὰ χάριν ἀνθρώπων καὶ τῆς τούτων ὑπηρεσίας, ὧν διαφθειρομένων εἰκότως κἀκεῖνα συνδιαφθείρεται, μηκέτ᾿ ὄντων τῶν δι᾿ οὓς γέγονε, συμμετροῦντος τοῦ θεοῦ τὸν ἀριθμὸν τῶν σωθησομένων

[a] e Cod. Barb. Wendland : *ἀπαλεῖψαι* vulg.
[b] *λοιπὰ* Mai, Aug.

ζῷα ἐγένετο· διὸ καὶ ἀπολλυμένου τοῦ δεσπότου συναπόλλυται καὶ αὐτά, συμμετροῦντος τοῦ θεοῦ τὸν ἀριθμὸν τῶν σωθησομένων ζῴων πρὸς τὴν χρείαν τῶν φυλαχθησομένων ἀνθρώπων ὥσπερ οὖν καὶ ἀπ' ἀρχῆς δύο δύο ἔκτισεν.][a]

Harris, pp. 18-19, from Cat. Ined. Cod. Reg. 1825 (Mangey ii. 675), and Cat. Mus. Britt. Cod. Burney 34, f. 35, *Φίλωνος Ἑβραίου*, *cf.* Cat. Lips. 1, col. 141, "where it is attributed to Procopius."

ἀνθρώπων, ὥσπερ οὖν καὶ ἀπ' ἀρχῆς δύο δύο ἔκτισεν.

Wendland, p. 47, from Procopius 272 B (*cf.* Theodoret, *Quaest. in Gen.* 1, Chrys. Cat. Lips. 142).

95. (Gen. vi. 7)

Ὅτι δὲ τῆς κακίας κολαζομένης ἡ ἀρετὴ διασῴζεται Νῶε *δεδήλωκεν.*

Wendland, pp. 49-50, from Procopius 292 A.

96. (Gen. vi. 8) . . . *ὃς λέγεται χάριν εὑρεῖν παρὰ τῷ θεῷ.*

Ὡς τῶν ἄλλων δι' ἀχαριστίαν ἀπολωλότων· οὐ γὰρ ὡς χάριν λαβὼν ἐκ θεοῦ—κοινὸν γὰρ τοῦτο πάντων ἀνθρώπων—ἀλλ' ἐπεὶ μόνος εὐχάριστος διεφάνη. Ἔδει δὲ καὶ χάριτος ἀξιωθῆναι θείας τὸν τοῦ νέου γένους κατάρξαντα· μεγίστης γὰρ χάριτος ἀρχὴν καὶ τέλος ἀνθρώπων γενέσθαι. Διὸ καὶ ἀπὸ τῶν ἀρετῶν αὐτὸν γενεαλογεῖ· τοῦ γὰρ σπουδαίου τὸ πρὸς ἀλήθειαν γένος ἐστὶν ἀρετή. Πρὸς ὃν καί φησι· "καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ." Ὄντως γὰρ οὐδὲν ὡς ἀδικία πρὸς τὸν θεὸν ἐναντίον.

Wendland, p. 50, from Procopius 292 A.

99. (Gen. vi. 12)

Καλῶς δὲ καὶ σάρκα κινουμένην λέγει τὴν ἐν φθορᾷ· κινεῖ γὰρ τὰς ἡδονὰς ἡ σὰρξ καὶ κινεῖται ὑπὸ τῶν ἡδονῶν, ἥτις κίνησις αἰτία γίνεται φθορᾶς ταῖς ψυχαῖς ὡς ἡ ἐγκράτεια σωτηρίας.

Wendland, pp. 55-56, from Procopius 269 D.

[a] *Ἐκ τούτου . . . ἔκτισεν*] e Cod. Barb. vi. 8 add. Wendland.

100. (Gen. vi. 13)

(*a*) *Οὐδὲν ἐναντίον καὶ μαχόμενον ταῖς ὁσιωτάταις τοῦ θεοῦ δυνάμεσίν ἐστιν οὕτως ὡς ἀδικία.*

Harris, p. 70 (identified by Früchtel), from Dam. Par. 787 (Cod. Rupef. f. 238), *ἐκ τοῦ β′ τῶν ἐν Γενέσει ζητημάτων.*

(*b*) *Ὁ καιρὸς παρὰ τοῖς φαυλοτέροις νομίζεται εἶναι θεὸς τὸν ὄντα ὄντως παρακαλυπτομένοις . . . καὶ θεοπλαστούντων καὶ ἐξ ἐναντίας τιθέντων τῷ ἀληθεῖ θεῷ τὸ λέγειν τὸν καιρὸν αἴτιον τῶν ἐν τῷ βίῳ πραγμάτων εἶναι.* Τοῖς *γὰρ εὐσεβέσι οὐ καιρὸν ἀλλὰ θεὸν παρ᾽ οὗ καὶ οἱ καιροὶ καὶ οἱ χρόνοι· πλὴν αἴτιον οὐ πάντων ἀλλὰ μόνων ἀγαθῶν καὶ τῶν κατ᾽ ἀρετήν· ὡς γὰρ ἀμέτοχος κακίας, οὕτω καὶ ἀναίτιος.*

Harris, p. 19, from Cod. Rupef. f. 193, *Φίλωνος περὶ κοσμοποιίας.* "The last sentence also in Pitra (*Anal. Sacr.* ii. 307), from Cod. Coislin. 276, f. 238, and again in Rupef. 222 b."

Ἐπάγει δὲ καὶ τὸ τῆς ἐναντιώσεως αἴτιον τὸ πλησθῆναι τὴν γῆν ἀδικίας. Καὶ *ἐπεὶ θεὸς ὁ καιρὸς παρὰ τοῖς φαύλοις νομίζεται, δείκνυσιν ὡς καιρῶν καὶ χρόνων αὐτὸς ποιητὴς καὶ τούτοις ὅρον ἐντίθησιν, ὥστε καὶ ἀλλαχοῦ φησιν· " ἀφέστηκεν ὁ καιρὸς ἀπ᾽ αὐτῶν, ὁ δὲ κύριος ἐν ἡμῖν."*[a] Τὸ *δὲ " καιρὸς ἥκει " σημαίνει τὴν οἱονεὶ συμπλήρωσιν τῶν ἡμαρτημένων, μεθ᾽ ἣν ὁ τῆς δίκης καιρός.*

Wendland, pp. 50-51, from Procopius 292 A (Wendland adds a passage as "vielleicht . . . auch aus Philo," but this seems doubtful).

[a] Num. xiv. 9.

5. (Gen. v. 15)

(*a*) Ὅτι ὁ τριάκοντα ἀριθμὸς φυσικώτατός ἐστιν, ὃ γὰρ ἐν μονάσι τριάς, τοῦτο ἐν δεκάσι τριακοντάς. . . . Συνέστηκεν ἐκ τεσσάρων τῶν ἀπὸ μονάδος ἑξῆς τετραγώνων α' δ' θ' ις'.

Staehle, p. 63, from Joh. Lydus, p. 55, 10-13.

(*b*) Δυνατὸν ἐν τριακοστῷ ἔτει αὐτὸν ἄνθρωπον πάππον γενέσθαι· ἡβᾶν μὲν περὶ τὴν τεσσερεσκαιδεκάτην ἡλικίαν, ἐν ᾗ σπείρει, τὸ δὲ σπαρὲν ἐντὸς ἐνιαυτοῦ γενόμενον, πάλιν πεντεκαιδεκάτῳ ἔτει τὸ ὅμοιον ἑαυτῷ γεννᾶν.

Harris, p. 20, from Dam. Par. 314.

9. (Gen. vi. 17)

Cf. QG i. 94.

10. (Gen. vi. 18)

Ἄνθρωποι μὲν κληρονομοῦνται ὅταν μηκέτι ὦσιν ἀλλὰ τεθνῶσιν,[a] ὁ δὲ θεὸς ἀΐδιος ὢν μεταδίδωσι τοῦ κλήρου τοῖς σοφοῖς [ζῶν ἀεί][b] εὐφραινόμενος αὐτῇ τῇ περιουσίᾳ.[c]

Lewy, p. 56, from Dam. Par. Cod. Rupef. f. 136v, Φίλωνος.

11. (Gen. vii. 1)

(*a*) Πρῶτον ἐναργὴς πίστις ὅτι δι' ἕνα ἄνδρα δίκαιον καὶ ὅσιον πολλοὶ ἄνθρωποι σῴζονται. Δεύτερον ἐπαινεῖ τὸν δίκαιον ἄνδρα ὡς μὴ μόνον ἑαυτῷ περιπεποιηκότα ἀρετήν, ἀλλὰ καὶ παντὶ τῷ οἴκῳ, δι' ἣν αἰτίαν καὶ σωτηρίας ἀξιοῦνται. Παγκάλως δὲ τουτὶ προσετέθη ὅτι " σε εἶδον δίκαιον ἐνώπιον ἐμοῦ." Ἑτέρως γὰρ

[a] ἀλλὰ τεθνῶσιν ex Arm. et Ambros. ins. Lewy.
[b] ζῶν ἀεὶ (ex marg. ad ἀΐδιος) recte secl. Lewy.
[c] αὐτῇ τῇ περιουσίᾳ] αὐτῶν τῇ κτίσει ex Arm. con. Lewy.

ἄνθρωποι δοκιμάζουσι τοὺς βίους καὶ ἑτέρως τὸ θεῖον, οἱ μὲν ἐκ τῶν φανερῶν, ὁ δὲ ἐκ τῶν κατὰ ψυχὴν ἀοράτων λογισμῶν.
Wendland, p. 48, from Procopius 280 B-C, Cod. Barb. vi. 8, f. 101.

(*b*) *Καὶ τὸ " ἐν τῇ γενεᾷ ταύτῃ," ἵνα μήτε τὰς πρότερον κατακρίνειν δοκῇ μήτε τὰς αὖθις ἀπογινώσκειν.*
Wendland, p. 52, from Procopius 293 B.

12. (Gen. vii. 2-3)
(*a*) *Ὁ γὰρ κατ' αὐτὴν ἀριθμὸς ἀμιγής ἐστι καὶ ἀμήτωρ, μήτε γεννῶν μήτε γεννώμενος ὡς ἕκαστος τῶν ἐν τῇ δεκάδι ἀριθμῶν. Ὅθεν καὶ οἱ Πυθαγόρειοι Ἀθηνᾷ τὴν ἑπτάδα ἀνατίθενται.*
Staehle, p. 36, from Joh. Lydus, p. 43, 2-5.

(*b*) *Ὥστε ὁ δύο ἀριθμὸς οὐ καθαρός, πρῶτον μὲν ὅτι κενός ἐστι καὶ οὐ ναστός, τὸ δὲ μὴ πλῆρες οὐ καθαρόν . . . ἀρχὴ δὲ ἀπειρίας καὶ ἀνισότητος, ἀπειρίας μὲν διὰ τὴν ὕλην, ἀνισότητος δὲ διὰ τοὺς ἑτερομήκεις. . . . Ὅθεν οἱ παλαιοὶ ὡς ὕλην καὶ ἑτερότητα τὴν δυάδα παραλαμβάνουσι.*
Staehle, p. 23, from Joh. Lydus, p. 24, 7-12.

(*c*) *Ἡ ἐν τῷ φαύλῳ κακία διδυμοτοκεῖ. Διχόνους γὰρ* <*καὶ*> *ἐπαμφοτερῆς ὁ ἄφρων, τὰ ἄμικτα μιγνύς, καὶ φύρων καὶ συγχέων τὰ διακρίνεσθαι δυνάμενα, τοιαῦτα ἐν ψυχῇ χρώματα ἐπιφέρων, οἷάπερ ὁ λεπρὸς ἐν τῷ σώματι, μιαίνων καὶ τοὺς ὑγιεῖς λογισμοὺς ἀπὸ τῶν θανατούντων ἅμα καὶ φωνώντων.*
Harris, p. 20, from Joh. Monachus (Mangey ii. 663=Cod. Rupef. f. 125 and 138 b).

(*d*) . . . Τὸ[a] *τὴν ἡμετέραν τοῦ σώματος οὐσίαν γεώδη ὑπάρχουσαν μὴ εἰσάπαν περιοραθῆναι χρὴ πνευματικῆς καὶ σῳζούσης ἐπιμελείας*[b]· *οἰνοφλυγίαις μὲν γὰρ καὶ ὀψοφαγίαις καὶ λαγνείαις καὶ συνόλως ὑγρῷ καὶ διαρρέοντι βίῳ χρώμενοι νεκροφοροῦμεν σὺν τῇ ψυχῇ καὶ τὸ σῶμα, ἐὰν δὲ ἀποστραφῶμεν τῶν παθῶν τὸν βομβυσμόν, ζωηφοροῦμεν καθ' ἑκάτερον.*[c]
Lewy, p. 57, from Dam. Par. Cod. Const. f. 501v, *Φίλωνος* (" mit christlicher Tendenz überarbeitet ").

[a] *ἠθικώτατον γὰρ τὸ* ex Arm. con. Lewy.
[b] *περιοραθῆναι ὥσπερ ζῴων ἔρημον* ex Arm. con. Lewy.
[c] *ἐὰν δὲ ὁ θεὸς ἐλεήσας ἀποστρέψῃ τῶν παθῶν τὸν κατακλυσμὸν καὶ ξηρὰν ἀπεργάσηται τὴν ψυχήν, ἄρξεται ζωογονεῖν καὶ ψυχοῦν τὸ σῶμα καθαρωτέρᾳ ψυχῇ, ἧς ἡ σοφία κυβερνήτης ἐστίν* ex Arm. con. Lewy.

13. (Gen. vii. 4, 10)

Μεθ' ἑπτὰ δὲ τοῦ εἰσελθεῖν ἡμέρας ὁ κατακλυσμὸς γίνεται, τοῦ φιλανθρώπου θεοῦ διδόντος αὐτοῖς ἀναχώρησιν εἰς μετάνοιαν ἁμαρτημάτων ὁρῶσιν αὐτόχρημα πλήρη τὴν κιβωτὸν ἀντίμιμον γῆς· καὶ τὸ ἐπιεικὲς δείκνυται τοῦ θεοῦ τὴν πολυετῆ μοχθηρίαν τῶν ἀνθρώπων ἐπιλυομένου τοῖς μετανοοῦσιν ἡμέραις ὀλίγαις. Ἔστι δὲ ὁ ἑπτὰ ἀριθμὸς ὑπόμνημα τῆς τοῦ κόσμου γενέσεως, ἐναργῶς δηλοῦντος τοῦ θεοῦ ὅτι αὐτός εἰμι καὶ τότε κοσμοποιῶν καὶ τὰ μὴ ὄντα ἄγων εἰς τὸ εἶναι καὶ τὰ νῦν ὄντα διαφθείρων. Ἀλλὰ τοῦ μὲν αἴτιον ἀγαθότης ἐμή, τοῦ δὲ τῶν εὐεργετηθέντων ἀσέβεια.

Wendland, p. 53, from Procopius 296 B.

Διὰ τί μετὰ τὸ εἰσελθεῖν ἑπτὰ ἡμέραι διαγίνονται, μεθ' ἃς ὁ κατακλυσμός;

Πρῶτον ἀναχώρησιν δίδωσιν ὁ ἵλεως εἰς μετάνοιαν ἁμαρτημάτων, ἵνα θεασάμενοι τὴν κιβωτὸν ἀντίμιμον γῆς ἕνεκα τοῦ καιροῦ γενομένην καὶ τὰ τῶν ζῴων γένη ταμιεύουσαν, ὧν ἔφερεν ἡ γῆ τὰ κατὰ μέρος εἴδη, πιστεύσωσι μὲν τῷ περὶ τοῦ κατακλυσμοῦ κηρύγματι τὴν διαφθορὰν εὐλαβηθέντες, καθέλωσι δὲ ἀσέβειαν καὶ κακίαν ἅπασαν. Δεύτερον τὴν ὑπερβολὴν τῆς ἐπιεικείας τοῦ σωτῆρος καὶ εὐεργέτου παρίστησιν ἐναργῶς τὸ λόγιον τὴν πολυετῆ μοχθηρίαν τῶν ἀνθρώπων ἐπιλυομένου τοῖς μετανοοῦσιν ἡμέραις ὀλίγαις.

Wendland, p. 53, from Cat. Barb. vi. 8, f. 103v, *Φίλωνος ἐπισκόπου.*

14. (Gen. vii. 4, 12)

Ὅθεν καὶ Ἄρτεμις λέγεται ἀπὸ τοῦ ἀρτίου καὶ ὑλικοῦ ἀριθμοῦ (*sc. δευτέρα ἡμέρα*). *Τὸ γὰρ ἄρτιον μέσον διασπᾶται διαιρουμένου τοῦ ἑνός. Μόνος δὲ ἀδιαίρετος ὁ περιττός. Ὁ μὲν γὰρ ἄρρην ἀριθμός . . . τετράγωνος, αὐγὴ καὶ φῶς ἐξ ἰσότητος πλευρῶν συνεστώς, ὁ δὲ θῆλυς ἑτερομήκης, νύκτα καὶ σκότον ἔχων διὰ τὴν ἀνισότητα. Ὁ δὲ ἑτερομήκης τὴν μὲν ἐλάττονα πλευρὰν ἐλάττονα ἔχει ἑνί, τὴν δὲ μείζω περιττοτέραν ἑνί.*

Staehle, p. 23, from Joh. Lydus, pp. 23, 21–24, 7.

15. (Gen. vii. 4)

(*a*) *Τί ἐστι· "ἐξαλείψω πᾶσαν τὴν ἐξανάστασιν ἣν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς";*

Τί φασι οὐκ " ἀπὸ τῆς γῆς " ἀλλ' " ἀπὸ τοῦ προσώπου τῆς γῆς "; τουτέστι τῆς ἐπιφανείας ἵνα ἐν τῷ βάθει ἡ ζωτικὴ δύναμις τῶν σπερμάτων ὅλων οὖσα φυλάττηται σώα καὶ ἀπαθὴς παντὸς τοῦ βλάπτειν δυναμένου· τῆς γὰρ ἰδίας προθέσεως οὐκ ἐπιλέλησται ὁ ποιητής· ἀλλὰ τὰ μὲν ἄνω καὶ κατ' αὐτὴν τὴν ἐπιφανείαν κινούμενα φθείρει, τὰς δὲ ῥίζας βυθίους[a] *ἐᾷ πρὸς γένεσιν ἄλλων.*

Harris, p. 21, from Cat. Burney, f. 35 b and Cat. Lips. 1, col. 144, *Φίλωνος ἐπισκόπου.*

Πᾶσαν δὲ τὴν ἀνάστασιν οὐκ ἀπὸ γῆς ἐξαλείψειν ἀλλ' " ἀπὸ προσώπου," λέγει, " τῆς γῆς," τοῦτ' ἔστι τῆς ἐπιφανείας, ἵνα ἐν τῷ βάθει ἡ ζωτικὴ δύναμις τῶν σπερμάτων ὅλων φυλάττηται.

Τὰς γὰρ ῥίζας βυθίους ἐᾷ πρὸς γένεσιν ἄλλων.

Wendland, p. 54, from Procopius 296 c.

(*b*) *Θεοπρεπῶς γὰρ τὸ " ἐξαλείψω " ὥσπερ τῶν ἀπαλειφομένων τὰ μὲν γράμματα ἀπαλείφονται, αἱ δέλτοι δὲ διαμένουσιν· ἡ μὲν γὰρ ἀσεβὴς γενεὰ ἐξήλειπται, τὸ δὲ κατὰ διαδοχὴν τῆς οὐσίας γένος διετηρήθη, ὡς δίκαιον.*

Harris, p. 21 (=Pitra, *Anal. Sacr.* ii. 313), from Cod. Vat. 748, f. 23 and Cod. Vat. 1657, f. 23.

Θεοπρεπῶς γὰρ τὸ " ἐξαλείψω " γέγραπται. Συμβαίνει γὰρ ἐπὶ τῶν <*ἀπ*>*αλειφομένων τὰ μὲν γράμματα ἀφανίζεσθαι, τὰς δὲ δέλτους ἢ βίβλους διαμένειν. Ἐξ οὗ παρίστησιν ὅτι τὴν μὲν ἐπιπολάζουσαν γένεσιν διὰ τὴν ἀσέβειαν ἀπαλείψει δίκην γραμμάτων, τὴν δὲ χώραν καὶ τὴν οὐσίαν τοῦ γένους τῶν ἀνθρώπων διαφυλάξει πρὸς τὴν αὖθις σποράν.*

Wendland, p. 54, from Cat. Barb. vi. 8, f. 105.

" Ἀπαλείψω " δέ φησιν, ἐπεὶ καὶ τῶν ἀπαλειφομένων τὰ γράμματα μὲν ἀφανίζεται, αἱ δέλτοι δὲ διαμένουσιν· ὅθεν ἐκτρίβων τὴν ἀσεβῆ γενεὰν τῆς οὐσίας τοῦ γένους ἐφείσατο.

Wendland, p. 54, from Procopius 296 c.

[a] *βυθίας* Cat. Lips.

(*c*) *Διὸ καὶ "τὴν ἀνάστασίν" φησιν· ἀναστάσει δὲ ἀντίπαλον καθαίρεσις, τὸ δὲ καθαιρεθὲν οὐκ εἰς ἅπαν ἀπόλλυται.*
Wendland, p. 54, from Procopius 296 c.

16. (Gen. vii. 5)

Ἔπαινος δὲ τοῦ δικαίου τὸ πάντα ποιῆσαι τὰ προσταχθέντα, δεύτερον τὸ ἐντέλλεσθαι μᾶλλον ἐθέλειν ἢ κελεύειν αὐτῷ τὸν θεόν· ἐντέλλονται μὲν γὰρ φίλοι, κελεύουσι δὲ δεσπόται· ὑπερβάλλει γὰρ ἐπὶ θεοῦ τὸ πρῶτον, εἰ καὶ μέγα τὸ δεύτερον.
Wendland, p. 55, from Procopius 296 c.

Μέγας ἔπαινος τοῦ δικαίου ὅτι τὰ προσταχθέντα πάντα ἐπετέλεσεν ἰσχυρογνώμονι λογισμῷ καὶ θεοφιλεῖ διανοίᾳ· δεύτερον δὲ ὅτι οὐκ ἐθέλει κελεύειν αὐτῷ μᾶλλον ἢ ἐντέλλεσθαι. Κελεύουσι μὲν γὰρ καὶ προστάττουσι δούλοις δεσπόται, ἐντέλλονται δὲ φίλοι. Θαυμαστὴ μὲν οὖν δωρεὰ καὶ τὸ ταχθῆναι τὴν ἐν δούλοις καὶ θεράπουσι παρὰ τοῦ θεοῦ τάξιν, ὑπερβολὴ δὲ εὐεργεσίας ἐστὶ τὸ καὶ φίλον γενηθῆναι γενητὸν ἀγενήτῳ.
Wendland, p. 55, from Cat. Barb. vi. 8, f. 101, *Φίλωνος ἐπισκόπου.*

17. (Gen. vii. 11)

Κατὰ τὸν τῆς ἰσημερίας καιρὸν ἐπισκήπτει ὁ κατακλυσμὸς ἐν ᾗ καὶ τὸν τοῦ γένους ἀρχηγέτην διαπεπλάσθαι φασίν· ὁ δὲ ἕβδομος μὴν λέγεται καὶ πρῶτος καθ' ἑτέραν καὶ ἑτέραν[a] *ἐπιβολήν· διὸ καὶ ἡ*

Πλησίον δὲ τοῦ τῆς ἰσημερίας καιροῦ γέγονεν ὁ κατακλυσμὸς ἐν τῇ πάντων αὐξήσει καὶ γενέσει τῶν ζῴων φοβερωτέραν τὴν ἀπειλὴν ἐπάγοντος τοῦ θεοῦ τῆς ἀσεβείας εἰς ἔλεγχον. Τότε δὲ καὶ γε-

Εὔλογον γὰρ καὶ τὸν τοῦ ἀνθρώπων γένους ἀρχηγέτην[b] *Ἀδὰμ διαπεπλάσθαι τῷ καιρῷ τῆς ἐαρινῆς ἰσημερίας.*[c] *Ἰσημερία δ' ἐαρινὴ γίνεται καὶ τῷ ἑβδόμῳ μηνί· ὁ δ' αὐτὸς λέγεται καὶ πρῶτος καθ' ἑτέραν*

[a] *καθ' ἑτέρας καὶ ἑτέρας* Cod. Burney.
[b] *ἢ γενάρχην ἢ πατέρα ἢ ὅπως δεῖ καλεῖν τὸν πρεσβύτατον ἐκεῖνον* ex Arm. add. Lewy.
[c] *ὅτ' ἦν κατάπλεως ἡ γῆ φυτῶν* ex Arm. add. Lewy.

τοῦ Νῶε *πρόσοδος ἐξομοιοῦται τῷ πρώτῳ γηγενεῖ ὡς ἀρχὴ συστάσεως δευτέρου κόσμου.*
Harris, p. 22, from Cod. Burney, f. 36 a, *Φίλωνος*, and Cat. Lips. 1, col. 149.

γονέναι τὴν δημιουργίαν εἰκὸς καὶ πεπλάσθαι τὸν ἄνθρωπον. Τῷ *οὖν* Ἀδὰμ *ἐξομοιοῦται καὶ* Νῶε, *γενεᾶς ἀνθρώπων δευτέρας ἀρχόμενος.*
Wendland, p. 55, from Procopius 296 D.

καὶ ἑτέραν ἐπιβολήν. Ἐπεὶ *οὖν*[a] *ἀρχὴ γίνεται δευτέρας ἀνθρώπων σπορᾶς, ἐξομοιοῦται τῷ πρώτῳ γηγενεῖ.*[b]
Lewy, p. 57, from Cat. Barb. vi. 8, f. 106v and Cat. Mosq. f. 157v, *Φίλωνος.*

26. (Gen. viii. 1) Πῶς *δὲ* "*τοῦ* Νῶε *μνησθεὶς ὁ θεὸς καὶ κτηνῶν καὶ θηρίων,*" *γυναικὸς ἢ τέκνων οὐ μέμνηται;*

Ὅπου *συμφωνία πάντων, ὀνομάτων οὐ χρεία πολλῶν· σὺν δὲ τῷ πρώτῳ καὶ τὸν οἶκον ἀνάγκη συνυπακούεσθαι.*

Wendland, p. 56, from Procopius 296 D.

28. (Gen. viii. 1) Καὶ "*ἐπήγαγε,*" *φησί,* "*πνεῦμα εἰς τὴν γῆν καὶ κεκόπακε τὸ ὕδωρ.*"

Οὐκ ἀνέμῳ[c] *ὕδωρ μειοῦται, κυμαίνει δὲ*[d] *καὶ ταράττεται· πάλαι γὰρ ἂν τὰ μέγιστα τῶν πελαγῶν ἐξανάλωτο.* Πνεῦμα *τοίνυν τὸ θεῖόν φησιν, ᾧ δὴ πάντα καὶ γίνεται καὶ λωφᾷ· οὐκ ἦν γὰρ εὔλογον ὕδωρ τοσοῦτον ἀνέμῳ παυθῆναι, ἀοράτῳ δὲ καὶ θείᾳ δυνάμει.*[e]

Wendland, p. 56, from Procopius 296 D, with variants of Cat. Lips. p. 148, Ἀδήλου.

29. (Gen. viii. 2)

Δῆλον δέ ἐστιν ὡς ταῖς μὲν πρώταις μ′ ἡμέραις ἄληκτος[f] *ἡ τῆς ῥύμης τῶν ὑδάτων ὑπῆρχε φορά, ταῖς δὲ ἄλλαις ρ′ καὶ ν′ ἔχουσα*

[a] *καὶ* Νῶε *μετὰ τὴν τοῦ κατακλυσμοῦ φθορὰν πρώτη τοῦ γένους* ex Arm. add. Lewy.
[b] *καθ' ὅσον δυνατόν* ex Arm. add. Lewy.
[c] *ἀνέμοις* Cat. Lips.
[d] *κυμαίνεται* Cat. Lips.
[e] *πάλαι . . . δυνάμει*] *ἀλλὰ τοῦτο ἦν τὸ τοῦ θεοῦ πνεῦμα, ὃ ἐξ ἀρχῆς ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος* Cat. Lips.
[f] Wendland : *ἄλεκτος* codd.

πράως οὐκέτι πρὸς αὔξησιν, πρὸς διαμονὴν δὲ τῆς ἀνακαλύψεως[a] *καὶ τοῦ ὕψους συνεβάλλετο· "μεθ' ἡμέρας" γάρ φησιν, "ρν' ἐπικαλυφθῆναι τάς τε πηγὰς καὶ τοὺς καταράκτας"· ἐνήργουν ἄρα πρὸ τῆς ἐπισχέσεως. Μετὰ ν' δὲ καὶ ρ' ἡμέρας ἠλαττοῦτο τὸ ὕδωρ· ἆρα τὰς προειρημένας, ἐν αἷς ὑψοῦτο τὸ ὕδωρ ἢ μετὰ τοσαύτας ἑτέρας οὐκ εὔδηλον.*

Wendland, pp. 56-57, from Procopius 296 D.

34. (Gen. viii. 6)

Αἱ αἰσθήσεις θυρίσιν ἐοίκασι. Διὰ γὰρ τούτων ὡσανεὶ θυρίδων ἐπεισέρχεται τῷ νῷ ἡ κατάληψις τῶν αἰσθητῶν· καὶ πάλιν ὁ νοῦς ἐκκύπτει δι' αὐτῶν. Μέρος δέ ἐστι τῶν θυρίδων, λέγω δὴ τῶν αἰσθήσεων, ἡ ὅρασις, ἐπεὶ καὶ ψυχῆς μάλιστα συγγενής, ὅτιπερ καὶ τῷ καλλίστῳ τῶν ὄντων φωτὶ οἰκεία, καὶ ὑπηρέτης τῶν θείων. Ἥτις καὶ τὴν εἰς φιλοσοφίαν ὁδὸν ἔτεμε τὴν πρώτην. Θεασάμενος γὰρ ἡλίου κίνησιν καὶ σελήνης καὶ τὰς τῶν ἀστέρων περιόδους καὶ τὴν ἀπλανῆ περιφορὰν τοῦ σύμπαντος οὐρανοῦ καὶ τὴν παντὸς τοῦ λόγου κρείττονα τάξιν τε καὶ ἁρμονίαν καὶ τὸν τοῦ κόσμου μόνον ἀψευδέστατον κοσμοποιόν, διήγγελλε τῷ ἡγεμόνι λογισμῷ ἃ εἶδεν. Ὁ δὲ ἐν ὄμματι ὀξυδερκεστέρῳ θεασάμενος καὶ παραδειγματικὰ εἴδη τούτων[b] *ἀνωτέρω καὶ τὸν ἁπάντων αἴτιον, εὐθὺς εἰς ἔννοιαν ἦλθε θεοῦ καὶ γενέσεως καὶ προνοίας, λογισάμενος ὅτι ὅλη φύσις οὐκ αὐτοματισθεῖσα γέγονεν,*[c] *ἀλλ' ἀνάγκη ποιητὴν εἶναι καὶ πατέρα, κυβερνήτην τε καὶ ἡνίοχον, ὃς καὶ πεποίηκε καὶ ποιήματα αὐτοῦ σώζει.*[d]

Harris, pp. 22-23, from Joh. Monachus (Mangey ii. 665 = Cod. Rupef. f. 221), *ἐκ τοῦ Περὶ κοσμοποιίας*. The two variants in the footnotes, printed by Harris on p. 70 among "unidentified fragments" and located by Früchtel, also come from Joh. Monachus (Mangey ii. 669), *ἐκ τοῦ α' τῶν ἐν Γεν. ζητημ.*

[a] *ἀναλύσεως* Cod. Aug.

[b] *παραδειγματικὰ . . . τούτων* con. Mangey: *παραδείγματι καὶ εἴδει διὰ τούτων* codd.

[c] *ὅτι . . . γέγονεν*] *ἀμήχανον ἁρμονίαν καὶ τάξιν καὶ λόγον καὶ ἀναλογίαν καὶ τοσαύτην συμφωνίαν καὶ τῷ ὄντι εὐδαιμονίαν ἀπαυτομοτισθεῖσαν γενέσθαι* Joh. Monach. in alio loco.

[d] *ἀλλ' . . . σώζει*] *ἀνάγκη γὰρ εἶναι ποιητὴν καὶ πατέρα, κυβερνήτην τε καὶ ἡνίοχον, ὃς γεγέννηκεν καὶ γεννηθέντα σώζει* Joh. Monach. in alio loco.

39. (Gen. viii. 9)
Σύμβολα δὲ κακίας καὶ ἀρετῆς ὅ τε κόραξ καὶ ἡ περιστερά. Εἰ γὰρ αὕτη δευτέρα ἐξελθοῦσα οὐχ εὗρεν ἀνάπαυσιν, πῶς ὁ κόραξ; Οὐδὲ γὰρ τὸ ζῷόν ἐστιν ὑδρόβιον. Ἀλλὰ γὰρ ἡ κακία τοῖς κυμαίνουσιν ἐφήδεται, ἡ δὲ ἀρετὴ τούτων ἀποπηδᾷ πρὸς τὴν πρώτην δυσχεράνασα θέαν, ἀνάπαυσιν καὶ βάσιν ἐν τούτοις οὐχ ἔχουσα.
Wendland, pp. 57-58, from Procopius 297 c (*cf.* Cat. Lips. 150, Ἀδήλου).

41. (Gen. viii. 10)
Ὁ καλὸς καὶ ἀγαθὸς τοῦ διδασκάλου τρόπος καὶ ἂν ἐν ἀρχῇ σκληραύχενας ἴδῃ φύσει, οὐκ ἀπογινώσκει τὴν ἀμείνω μεταβολὴν ἀλλ᾽ ὥσπερ ἀγαθὸς ἰατρὸς οὐκ εὐθὺς ἐπιφέρει τὴν θεραπείαν ἅμα τῷ κατασκῆψαι τὴν νόσον ἀλλ᾽ ἀναχώρησιν τῇ φύσει δοὺς ἵνα προανατέμνῃ τὴν εἰς σωτηρίαν ὁδόν, τηνικαῦτα χρῆται τοῖς ὑγιεινοῖς καὶ σωτηρίοις φαρμάκοις, οὕτω καὶ σπουδαῖος λόγοις κατὰ φιλοσοφίαν καὶ δόγμασιν.
Harris, p. 100, from Cod. Rupef. f. 137 (located by Früchtel).

47. (Gen. viii. 14)
Ἡ μὲν οὖν ἀρχὴ τοῦ κατακλυσμοῦ γέγονεν ἑβδόμῃ καὶ εἰκάδι τῆς ἐαρινῆς ἰσημερίας, ἡ δὲ μείωσις ἑβδόμῳ μετὰ ταύτην μηνὶ τῇ μετοπωρινῇ ἰσημερίᾳ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός. Οὗτος γὰρ πέρας μὲν τῆς πρώτης ἰσημερίας, ἀρχὴ δὲ τῆς δευτέρας, ὥσπερ ὁ ἀπὸ τούτου ἕβδομος πέρας τῆς δευτέρας, ἀρχὴ δὲ τῆς πρώτης, ἐν ᾧ καὶ τοῦ κόσμου ἡ γένεσις.
Wendland, p. 57, from Procopius 296 D.

48. (Gen. viii. 15-16)
Εὐλαβὴς ὢν ὁ Νῶε ἀκόλουθον ἡγήσατο μετὰ τὸ κοπάσαι τὸ ὕδωρ ἀναμεῖναι τὴν τοῦ θεοῦ πρόσταξιν ἵν᾽, ὥσπερ χρησμοῖς εἰσεληλύθεν εἰς τὴν κιβωτόν, χρησμοῖς πάλιν ὑπεξέλθῃ, εἶπεν γὰρ κύριος ὁ θεὸς τῷ Νῶε· "ἔξελθε σὺ καὶ ἡ γυνή σου" καὶ τὰ ἑξῆς.
Wendland, p. 58, from Procopius *ap.* Cat. Barb. vi. 8, f. 108, *Φίλωνος ἐπισκόπου.*

54. (Gen. viii. 21)
(*a*) *Ἡ πρότασις ἐμφαίνει μεταμέλειαν, ἀνοίκειον πάθος θείας δυνάμεως. Ἀνθρώποις μὲν γὰρ ἀσθενεῖς αἱ γνῶμαι καὶ ἀβέβαιοι, ὡς τὰ πράγματα πολλῆς γέμοντα ἀδηλότητος. Θεῷ δὲ οὐδὲν ἄδηλον, οὐδὲν ἀκατάληπτον· ἰσχυρογνωμονέστατος γὰρ καὶ βε-*

βαιότατος. Πῶς οὖν τῆς αὐτῆς ὑπούσης αἰτίας, ἐπιστάμενος ἐξ ἀρχῆς ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, πρῶτον μὲν ἔφθειρεν τὸ γένος κατακλυσμῷ, μετὰ δὲ ταῦτά φησιν μηκέτι διαφθείρειν, καίτοι διαμενούσης ἐν τῇ ψυχῇ τῆς αὐτῆς κακίας; Λεκτέον οὖν ὅτι πᾶσα ἡ τοιάδε τῶν λόγων ἰδέα περιέχεται ἐν τοῖς νόμοις πρὸς μάθησιν καὶ ὠφέλειαν διδασκαλίας μᾶλλον ἢ πρὸς τὴν φύσιν τῆς ἀληθείας. Διττῶν γὰρ ὄντων κεφαλαίων ἃ κεῖται διὰ πάσης τῆς νομοθεσίας· ἑνὸς μὲν καθ' ὃ λέγεται, " οὐχ ὡς ἄνθρωπος ὁ θεός "· ἑτέρου δὲ καθ' ὃ " ὡς ἄνθρωπος " παιδεύειν λέγεται υἱόν. Τὸ μὲν πρότερον τῆς ἀληθείας ἐστίν· ὄντως γὰρ ὁ θεὸς οὐχ ὡς ἄνθρωπος ἀλλ' οὐδὲ ὡς ἥλιος οὐδὲ ὡς οὐρανὸς οὐδὲ ὡς κόσμος αἰσθητὸς ἢ νοητὸς ἀλλ' ὡς θεός, εἰ καὶ τοῦτο θέμις εἰπεῖν. Ὁμοιότητα γὰρ ἢ σύγκρισιν ἢ παραβολὴν οὐκ ἐπιδέχεται τὸ μακάριον ἐκεῖνο, μᾶλλον δὲ μακαριότητος αὐτῆς ὑπεράνω. Τὸ δὲ ὕστερον τῆς διδασκαλίας καὶ ὑφηγήσεως, τὸ " ὡς ἄνθρωπος," ἕνεκα τοῦ παιδεῦσαι τοὺς γηγενεῖς ἡμᾶς ἵνα μὴ τὰς ὀργὰς καὶ τὰς τιμωρίας μέχρι παντὸς ἀποτείνωμεν ἀσπόνδως καὶ ἀσυμβάτως ἔχοντες.

Harris, pp. 23-24, from Pitra, *Anal. Sacr.* ii. 304 (*e* Cod. Coislin. 276, f. 220 b), *Φίλωνος ἐκ τοῦ Περὶ κοσμοποιίας γ' κεφαλαίου* (also in Cod. Rupef. f. 205 b, *Φίλωνος*, " with much variation ").

(*b*) *Τὸ οὖν " διενοήθη " ἐπὶ θεοῦ οὐ*[a] *κυριολογεῖται, τοῦ τὴν γνώμην καὶ τὴν διάνοιαν βεβαιοτάτου.*

Harris, p. 24, from same source as Frag. (*a*) above.

(*c*) *Ἡ τυχοῦσα τῆς κακίας γένεσις δουλοῖ τὸν λογισμὸν καὶ ἂν μήπω τέλειον αὐτῆς ἐκφυτήσῃ τὸ γέννημα. Ἶσον γάρ ἐστι τῷ κατὰ τὴν παροιμίαν λεγομένῳ " πλίνθον πλύνειν ἢ δικτύῳ ὕδωρ κομίζειν " τὸ κακίαν ἐξελεῖν ἀνθρώπου ψυχῆς. Ὅρα γὰρ αἷς ἐγκεχάρακται πάντων ἡ διάνοια, ὥς φησιν, " ἐπιμελῶς " καὶ οὐ παρέργως· τουτέστιν συγκεκόλληται καὶ προσήρμοσται. Τὸ δὲ σὺν ἐπιμελείᾳ καὶ φροντίδι κατεσκεμμένον ἐστὶ καὶ διηγορευμένον*[b] *εἰς ἀκρίβειαν, καὶ τοῦτο οὐκ ὀψὲ καὶ μόλις ἀλλ' " ἐκ νεότητος "· μονονουχὶ λέγων, " ἐξ αὐτῶν τῶν σπαργάνων," ὥσπερ τι μέρος ἡνωμένον.*[c]

Harris, pp. 24-25, from Joh. Monachus (Mangey ii. 663 = Cod. Rupef. f. 138 a, *ἐκ τοῦ Περὶ μετονομαζομένων*).

[a] *οὐ* om. Cod. Coislin. vid.

[b] *διηρευνημένον* ex Arm. conieci.

[c] *ἡνωμένον* ex Lat. con. Mangey : *τεινόμενον* Codd.

59. (Gen. ix. 4) Τί ἐστιν· " ἐν αἵματι ψυχῆς κρέας οὐ φάγεσθε ";

Ἔοικεν διὰ τούτου δηλοῦν ὅτι ψυχῆς οὐσία αἷμά ἐστιν· ψυχῆς μέντοι τῆς αἰσθητικῆς[a] οὐχὶ τῆς κατ' ἐξοχὴν γενομένης ἥτις ἐστὶν λογική τε καὶ νοερά. Τρία γὰρ μέρη ψυχῆς· τὸ μὲν θρεπτικόν, τὸ δὲ αἰσθητικόν, τὸ δὲ λογικόν. Τοῦ μὲν οὖν λογικοῦ τὸ θεῖον πνεῦμα οὐσία κατὰ τὸν θεόλογον, φησὶν γὰρ ὅτι ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· τοῦ δὲ αἰσθητικοῦ καὶ ζωτικοῦ τὸ αἷμα οὐσία, λέγει γὰρ ἐν ἑτέροις ὅτι ψυχὴ πάσης σαρκὸς τὸ αἷμά ἐστιν· καὶ κυριώτατα ψυχὴν σαρκὸς αἷμα εἴρηκεν, περὶ δὲ σάρκα ἡ αἴσθησις καὶ τὸ πάθος οὐχ ὁ νοῦς καὶ ὁ λογισμός. Οὐ μὴν ἀλλὰ καὶ τὸ ἐν αἵματι ψυχῆς μηνύει ὅτι ἕτερόν ἐστιν ψυχὴ καὶ ἕτερον αἷμα, ὡς εἶναι ψυχῆς μὲν ἀψευδῶς οὐσίαν πνεῦμα, μὴ καθ' αὑτὸ δὲ χωρὶς αἵματος τόπον ἐπέχειν ἀλλ' ἐμφέρεσθαι καὶ συγκεκρᾶσθαι αἵματι.

Harris, pp. 25-26, from Cod. Reg. 923, f. 376 b and Cod. Rupef. f. 279 b.

62. (Gen. ix. 6) Διατί, ὡς περὶ ἑτέρου θεοῦ, φησι τὸ " ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον " ἀλλ' οὐχὶ τῇ ἑαυτοῦ;

Παγκάλως καὶ σοφῶς τουτὶ κεχρησμῴδηται. Θνητὸν γὰρ οὐδὲν ἀπεικονισθῆναι πρὸς τὸν ἀνωτάτω καὶ πατέρα τῶν ὅλων ἐδύνατο, ἀλλὰ πρὸς τὸν δεύτερον θεόν, ὅς ἐστιν ἐκείνου λόγος. Ἔδει γὰρ τὸν λογικὸν ἐν ἀνθρώπου ψυχῇ τύπον ὑπὸ θείου λόγου χαραχθῆναι, ἐπειδὴ ὁ πρὸ τοῦ λόγου θεὸς κρείσσων ἐστὶν ἢ πᾶσα λογικὴ φύσις· τῷ δὲ ὑπὲρ τὸν λόγον ἐν τῇ βελτίστῃ καί τινι ἐξαιρέτῳ καθεστῶτι ἰδέᾳ οὐδὲν θέμις ἦν γεννητὸν ἐξομοιοῦσθαι.

Harris, p. 26, from Eusebius, *Praep. Evang.* vii. 13, ἐκ τοῦ πρώτου μοι κείσθω τῶν Φίλωνος ζητημάτων καὶ λύσεων.

64. (Gen. ix. 13-17)

(*a*) Τινὲς δέ φασι· μήποτε παρὰ τὴν ἶριν ἕτερα ἄττα μηνύει, τουτέστιν ἄνεσιν καὶ ἐπίτασιν τῶν ἐπιγείων μήτε τῆς ἀνέσεως εἰς ἔκλυσιν ὑφιεμένης παντελῆ καὶ ἀναρμοστίαν μήτε τῆς ἐπιτάσεως ἄχρι ῥήξεως ἐπιτεινομένης ἀλλὰ μέτροις ὡρισμένοις ἑκατέρας δυνάμεως σταθμηθείσης. Ὁ γὰρ μέγας κατακλυσμὸς ῥήξει γέγονεν, ὡς καὶ αὐτός φησιν· " ἐρράγησαν αἱ πηγαὶ τῆς ἀβύσσου " ἀλλ' οὐκ

[a] αἰσθητικῆς καὶ τῆς ζωτικῆς ex Lat. con. Harris.

ἐπιτάσει ποσῇ τινι.[a] *Ἄλλως τέ φασιν· οὐκ ἔστιν ὅπλον τὸ τόξον ἀλλ' ὄργανον ὅπλου, βέλους τιτρώσκοντος, ὅπερ καθικνεῖται τοῦ πόρρω, τοῦ πλησίον ἀπαθοῦς διαμένοντος. Οὕτως οὖν, φησίν, οὐ πάντες κατακλυσθήσονται, κἂν τοῦτό τινας ὑπομένειν συμβῇ. Τὸ οὖν τόξον συμβολικῶς θεοῦ δύναμίς ἐστιν ἀόρατος ἑκάτερον κυβερνῶσα, καὶ τὴν ἐπίτασιν καὶ τὴν ἄνεσιν, τῷ ἀέρι ἐκ θεοῦ ἐνυπάρχουσα.*

Wendland, pp. 59-60, from Procopius 300 C-D.

(*b*) *Ἔστιν οὖν θεοῦ δύναμις ἀόρατος συμβολικῶς τὸ τόξον, ἥτις ἐνυπάρχουσα τῷ ἀέρι ἀνειμένῳ κατὰ τὰς αἰθρίας καὶ ἐπιτεινομένη κατὰ τὰς νεφώσεις οὐκ ἐᾷ τὰ νέφη δι' ὅλου εἰς ὕδωρ ἀναλύεσθαι τῷ μὴ γενέσθαι καθόλου κατακλυσμόν. Κυβερνᾷ γὰρ καὶ ἡνιοχεῖ τὴν πύκνωσιν τοῦ ἀέρος, πεφυκότος μάλιστα τότε ἀπαυχενίζειν καὶ ἐνυβρίζειν διὰ πλησμονῆς κόρου.*

Harris, pp. 26-27, from Cat. Lips. 1, col. 160, *Φίλωνος ἐπισκόπου*, "also in Cod. Burney, fol. 37 b, with frequent inaccuracy of transcription."

65. (Gen. ix. 18-19)

Εἰ δὲ μνησθεὶς τετάρτου τοῦ Χαναὰν ἐπήνεγκε· "τρεῖς οὗτοι υἱοὶ τοῦ Νῶε," δέον, φασίν, εἰπεῖν τέσσαρες, οὐκ ἀλόγως. Διὰ γὰρ τὴν ὁμοιοτροπίαν εἰς ἓν συλλαμβάνει τῷ πατρὶ τὸν υἱόν. Οἳ καί φασιν ὡς εἰκότως νῦν τοῦ Χὰμ ὑπογράφει τὴν γενεὰν εἰς ἔμφασιν τοῦ ὅτι πατὴρ ἤδη γεγονὼς τὸν ἑαυτοῦ πατέρα οὐκ ἐτίμησεν οὐδὲ μετέδωκε τῷ γεννήσαντι ὧν ἂν παρὰ τοῦ παιδὸς ἠξίου τυχεῖν, καὶ ὡς νεωτεροποιὸν πρὸς ἁμαρτίαν ἐκάλεσεν εἰκότως νεώτερον. Ἐπίτηδες δὲ ἴσως ἐμνήσθη καὶ τοῦ Χαναὰν τοῦ τῶν Χαναναίων οἰκιστοῦ πόρρωθεν ἐλέγχων τὸ δυσγενές, ὧν τὴν γῆν ἀφελὼν τῷ θεοφιλεῖ παρέσχε λαῷ.

Wendland, p. 61, from Procopius 301 D, 304 A.

66. (Gen. ix. 20)

Ἐξομοιοῖ δὲ τὸν Νῶε τῷ πρώτῳ διαπλασθέντι ἀνθρώπῳ. Ἐξῆλθε γὰρ ἑκάτερος, ὁ μὲν τοῦ παραδείσου, ὁ δὲ τῆς κιβωτοῦ. Ἄρχει γεωργίας ἑκάτερος μετὰ κατακλυσμόν· καὶ γὰρ ἐν τῇ τοῦ κόσμου γενέσει τρόπον τινὰ κατεκέκλυστο ἡ γῆ. Οὐ γὰρ ἂν ἔλεγε· "συναχθήτω τὸ ὕδωρ εἰς τὴν συναγωγὴν μίαν καὶ ὀφθήτω ἡ ξηρά."

Wendland, p. 63, from Procopius 305 A.

[a] *ποσῇ τινι*] *περιττῇ* con. Wendland.

68. (Gen. ix. 20)

Εἴποι δ' ἄν τις ἐκ τῶν ῥητῶν ὡς οὐδὲ τὸν οἶνον ὅλον ἀλλ' ἐκ τοῦ οἴνου πίνει δι' ἐγκράτειαν, δι' ἣν ἐμέτρει τὴν χρῆσιν, τοῦ ἀκρατοῦς οὐκ ἀπαλλαττομένου τῶν συμποσίων πρὶν <ἂν> ὅλον ἐκπίῃ τὸν ἄκρατον· εἶτα καὶ τῷ μεθύειν ἡ γραφὴ νῦν ἀντὶ τῆς οἰνώσεως κέχρηται. Διττὸν γὰρ τὸ μεθύειν, ἢ τὸ παρ' οἶνον ληρεῖν, ὅπερ ἁμάρτημα καὶ φαύλου ἴδιον, ἢ τὸ οἰνοῦσθαι, ὅπερ καὶ εἰς σοφὸν πίπτει.[a]

Wendland, p. 63, from Procopius 305 A. The variant to the last sentence, given in the footnote, is printed by Harris, p. 27, from Mai, *Script. Vet.* vii. 104, from Cod. Vat. 1553, ἐκ τοῦ α' τῶν ἐν Γενέσει ζητημάτων.

71. (Gen. ix. 22)

Τοῦ δὲ Χὰμ αὔξει τὸ ἔγκλημα, πρῶτον μὲν ἐκ τοῦ ὑπεριδεῖν, δεύτερον δ' ἐκ τοῦ εἰπεῖν καὶ οὐχ ἑνὶ μόνῳ τῶν ἀδελφῶν[b] ἀλλ' ἀμφοτέροις· εἰ δὲ καὶ πλείους ἦσαν, ἅπασιν ἐξελάλησεν ἂν διαχλευάζων πρᾶγμα οὐ χλεύης ἀλλ' αἰδοῦς καὶ εὐλαβείας ἄξιον ὄν. Εἶτα οὐκ ἔνδον ἀλλ' ἔξω διήγγειλεν· ὅπερ ἐμφαίνει τὸ μὴ ἀκηκοέναι μόνον τοὺς ἀδελφοὺς ἀλλὰ καὶ τοὺς ἔξω περιεστῶτας ἄνδρας τε καὶ γυναῖκας.[c]

Wendland, p. 62, from Procopius 304 C. The variant to the last sentence, given in the footnote, is printed by Harris, p. 27, from Cat. Lips. 1, col. 163, also from Cat. Burney, f. 37 b, Φίλωνος ἐπισκόπου.

72. (Gen. ix. 23)

Ὁ εὐχερὴς καὶ ἀπερίσκεπτος τὰ ἐπ' εὐθείας καὶ πρὸς ὀφθαλμῶν μόνον ὁρᾷ· ὁ δὲ φρόνιμος καὶ τὰ κατόπιν, τουτέστι τὰ μέλλοντα· ὥσπερ γὰρ τὰ ὀπίσω τῶν ἔμπροσθεν ὑστερίζει, οὕτω καὶ τὰ μέλλοντα τῶν ἐνεστώτων. Ὧν τὴν θεωρίαν ὁ ἀστεῖος μέτεισιν, αὐγαίως[d] πάντοθεν ὀμματωθείς· πᾶς οὖν σοφὸς οὐκ ἄνθρωπος

[a] Διττὸν . . . πίπτει] Διττὸν τὸ μεθύειν· ἓν μὲν τὸ ληρεῖν παρ' οἶνον, ὅπερ ἐστὶ φαύλου ἴδιον ἁμάρτημα· ἕτερον δὲ τὸ οἰνοῦσθαι, ὅπερ εἰς σοφὸν πίπτει Cod. Vat.

[b] Post ἀδελφῶν verba τὸ τοῦ πατρὸς ἀκούσιον ἁμάρτημα ex Arm. suppl. Wendland.

[c] τὸ μὴ ἀκηκοέναι . . . γυναῖκας] οὐ μόνον τοὺς ἀδελφοὺς ἀκηκοέναι ἀλλὰ καὶ τοὺς περιεστῶτας ἄνδρας ἔξω ὁμοῦ καὶ γυναῖκας Cat. Lips.

[d] Λυγκέως <δίκην> ex Arm. con. Harris : Ἄργος ὡς con. Post.

ἀλλὰ νοῦς καταθεώμενος καὶ περιαθρῶν περιπέφρακται πρὸς τὰ ἐνεστῶτα καὶ τὰ ἀδοκήτως κατασπιλάζοντα.

Harris, p. 28, from Cod. Rupef. f. 142, *Φίλωνος· ἐκ τῶν ἐν Γενέσει ζητημάτων.*

77. (Gen. ix. 27) Καὶ *πῶς* Χὰμ *καὶ αὐτὸς ὢν ἀσεβὴς οὐ τῆς αὐτῆς μετέσχε κατάρας;*

Ἄλλοι δέ φασιν ὡς ὁ μὲν Χαναὰν *ἔλαβε τὴν κατάραν οὐκ ὢν ἀλλότριος τῆς πατρικῆς προαιρέσεως, ὁ δὲ* Χὰμ *εἰς πατέρα ἁμαρτήσας εἰς υἱὸν κατηράθη ἄξιον ὄντα καὶ τῶν ἰδίων κακῶν τῆς κατάρας.* Ἀλλὰ *καὶ μειζόνως ἤλγει διὰ τοῦ παιδὸς τιμωρούμενος· μείζω γὰρ ὧν* <*αὐτοὶ*> *πάσχομεν τὰ τῶν παίδων ἐστὶν εἰς συμφοράν, καὶ*[a] *μάλιστα ἡνίκα γινώσκομεν ὡς ἀρχηγοὶ καὶ διδάσκαλοι τῶν κακῶν αὐτοῖς βουλευμάτων γεγόναμεν.*

Wendland, pp. 60-61, from Procopius 301 c-d and Theodoret, *Quaest.* lviii. (*cf.* Cat. Lips. 165-166).

[a] Post *καὶ* lacuna est quam per verbum *ἀνιώμεθα* suppl. Wendland.

GENESIS, BOOK III

3. (Gen. xv. 9)
Ἀτόπως δρῶσιν ὅσοι ἐκ μέρους τινὸς κρίνουσι τὸ ὅλον ἀλλὰ τὸ ἐναντίον[a] ἐκ τοῦ ὅλου τὸ μέρος. Οὕτω γὰρ ἄμεινον καὶ σῶμα[b] καὶ πρᾶγμα δογματίζοιτο ἄν. Ἔστιν οὖν ἡ θεία νομοθεσία τρόπον τινὰ ζῷον ἡνωμένον, ἣν ὅλον δι' ὅλου χρὴ μεγάλοις ὄμμασι περισκοπεῖν, καὶ τὴν βουλὴν τῆς συμπάσης γραφῆς ἀκριβῶς καὶ τηλαυγῶς περιαθρεῖν, μὴ κατακόπτοντας τὴν ἁρμονίαν, μηδὲ τὴν ἕνωσιν διαρτῶντας. Ἑτερόμορφα γὰρ καὶ ἑτεροειδῆ φανεῖται τῆς κοινωνίας στερούμενα.
Harris, p. 29, from Dam. Par. 774, from Cod. Rupef.

7. (Gen. xv. 11a)
Πᾶσα ἡ ὑπὸ τὴν σελήνην φύσις μεστὴ πολέμων καὶ κακῶν ἐμφυλίων ἐστὶ καὶ ξένων.
Harris, p. 29, from Mai, *Script. Vet.* vii. 98, from Cod. Vat. 1553, ἐκ τοῦ γ' τῶν ἐν Γενέσει ζητημάτων.

8. (Gen. xv. 11b)
Ἕνεκα μὲν τῶν φαύλων οὐδεμία πόλις ἠρέμησεν ἄν. Διαμένουσι δὲ ἀστασίαστοι δι' ἑνὸς ἢ δευτέρου δικαιοσύνην ἀσκοῦντος[c] οὗ ἡ ἀρετὴ τὰς πολιτικὰς[d] νόσους ἰᾶται, γέρας ἀπονέμοντος τοῦ φιλαρέτου[e] θεοῦ καλοκἀγαθίας[f] τοῦ μὴ μόνον αὐτὸν ἀλλὰ καὶ τοὺς πλησιάζοντας ὠφελεῖσθαι.[g]
Harris, pp. 29-30, from Mangey ii. 661, from Joh.

[a] οὐ τὸ ἐναντίον con. Harris.
[b] ὄνομα con. Harris.
[c] οἰκοῦντος Cod. Rupef.: συνοικοῦντος Anton Melissa.
[d] πολεμικὰς Joh. Monachus.
[e] φιλανθρώπου Joh. Monachus.
[f] καλοκἀγαθῶν Cod. Rupef.
[g] ὠφελεῖν Anton Melissa.

Monachus (=Cod. Rupef. f. 33 b), and from Anton Melissa, col. 1105.

11. (Gen. xv. 15)
Ἐναργῶς ἀφθαρσίαν ψυχῆς αἰνίττεται μετοικιζομένης ἀπὸ τοῦ θνητοῦ σώματος. Τὸ[a] *γὰρ τῷ τελευτῶντι φάσκειν " ἀπελεύσῃ <πρὸς τοὺς> πατέρας σου " τί ἕτερον ἢ ζωὴν ἑτέραν παρίστησι τὴν ἄνευ σώματος, καθ' ἣν ψυχὴν μόνην συμβαίνει ζῆν. Πατέρας δὲ Ἀβραὰμ οὐ δήπου τοὺς γεννήσαντας αὐτὸν πάππους καὶ προγόνους παρείληφεν· οὐ γὰρ πάντες ἐπαινετοὶ γεγόνασιν· ἀλλ' ἔοικεν αἰνίττεσθαι πατέρας οὓς ἑτέρωθι καλεῖν ἀγγέλους εἴωθεν. Εἰ δὲ καὶ τοὺς περὶ τὸν Ἄβελ καὶ Ἑνὼς καὶ Σὴθ καὶ Ἐνὼχ καὶ Νῶε φήσεις, οὐχ ἁμαρτήσει*[b] *τοῦ πρέποντος . . . μακρὸν γὰρ αἰῶνα τείνουσι*[c] *μυρίοι τῶν ἀφρόνων, καλὸν δὲ καὶ σπουδαῖον μόνος ὁ φρονήσεως ἐραστής.*
Wendland, pp. 67-68, from Cat. Barb. vi. 8, f. 128, *Φίλωνος Ἑβραίου . . . φίλωνος ἐπισκόπου* (*cf.* Cat. Lips. 209, *Ἀδήλου*).

12. (Gen. xv. 16)
Καὶ οὕτω μὲν ἐπὶ τοῦ νοητοῦ, οὐδὲν δὲ ἧττον κἀπὶ τοῦ αἰσθητοῦ ἔστι συνιδεῖν ἐν ταῖς τῶν ζῴων γενέσεσι· πρῶτον μὲν γάρ ἐστι σπέρματος καταβολή, δεύτερον δὲ ἡ εἰς τὰ γένη διανομή, τρίτον αὔξησις, καὶ τέταρτον τελείωσις.
Staehle, p. 30, from Joh. Lydus, p. 29, 7-11.

18. (Gen. xvi. 1)
Στεῖρα ἡ τοῦ ἔθνους μήτηρ εἰσάγεται, πρῶτον μὲν[d] *ἵνα παράδοξος ἡ τῶν ἐγγόνων σπορὰ φαίνηται θαυματουργηθεῖσα, δεύτερον δὲ ὑπὲρ τοῦ μὴ*[e] *συνουσίᾳ μᾶλλον ἀνδρὸς ἀλλ' ἐπιφροσύνῃ*[f] *θείᾳ συλλαμβάνειν τε καὶ τίκτειν.*[g] *Τὸ γὰρ στεῖραν οὖσαν ἀποκύειν οὐ γεννήσεως ἀλλὰ θείας δυνάμεως ἔργον ἦν.*[h]
Wendland, pp. 68-69, from Cat. Barb. vi. 8, f. 129 (*cf.* Theodoret, *Quaest.* lxxv), and Procopius 349 c.

[a] *τὸ* Wendland : *τῷ* codd.
[b] Wendland : *ἁμαρτήσεις* codd.
[c] Wendland : *τίνουσι* codd.
[d] *πρῶτον μὲν* om. Procopius.
[e] *δεύτερον . . . μὴ*] *καὶ ἵνα μὴ* Procopius.
[f] *εὐφροσύνῃ* Cat. Barb.
[g] *θείᾳ . . . τίκτειν*] *θεοῦ συλλαμβάνῃ καὶ τίκτῃ* Procopius.
[h] *τὸ γὰρ . . . ἦν* om. Procopius vid.

20. (Gen. xvi. 2)
Ὁρᾷς ταύτης τὸ σῶφρον καὶ τὸ ἄφθονον προσέτι καὶ φίλανδρον καὶ τοῦ Ἀβραὰμ τὴν ἀπάθειαν.
Wendland, p. 69, from Procopius 352 A (*cf.* Cat. Lips. 213, Ἀδήλου).

21. (Gen. xvi. 3)
Οὐχ ὥσπερ οἱ ἀσελγεῖς ὀλιγωρίᾳ τῶν ἀστῶν[a] *ἐπὶ τὰς θεραπαίνας ἐκμαίνονται. Ὁ δὲ Ἀβραὰμ τότε βεβαιότερος περὶ τὴν σύνοικον, ὅτε παλλακίδι χρῆσθαι παρήγγελλον οἱ καιροί, καὶ τότε ταύτην εὗρε γυναῖκα παγιωτέραν, ὅτε παρεισῆλθεν ἑτέρα. Πρὸς μὲν γὰρ τὴν παλλακίδα μίξις ἦν σωμάτων ἕνεκα παίδων γενέσεως, πρὸς δὲ τὴν γαμετὴν ἕνωσις ψυχῆς ἁρμοζομένης ἔρωτι θείῳ.*
Wendland, p. 69, from Procopius 352 A (*cf.* Cat. Lips. 215, Εὐσεβίου: "Philonische Gedanken sind durch eine vermittelnde Quelle, Eusebius, übergegangen").

22. (Gen. xvi. 4)
Κατὰ καιρὸν κυρίαν ἐκάλεσεν, ὅτε τῆς παρὰ τῆς θεραπαίνης[b] *ἠλάττωται. Τοῦτο δὲ καὶ εἰς πάντα διατείνει τοῦ βίου τὰ πράγματα· κυριώτερος*[c] *γὰρ ὁ φρόνιμος πένης ἄφρονος πλουσίου καὶ ὁ ἄδοξος ἐνδόξου καὶ ὁ νοσῶν ὑγιαίνοντος. Τὰ μὲν γὰρ σὺν φρονήσει πάντα κύρια, τὰ δὲ ἐν ἀφροσύνῃ δοῦλα καὶ ἄκυρα. Οὐκ εἶπε δὲ "ἠτίμασε τὴν κυρίαν αὐτῆς" ἀλλ' "ἠτιμάσθη ἡ κυρία." Οὐ γὰρ ἐθέλει κατηγορεῖν, δηλῶσαι δὲ τὸ συμβεβηκός.*
Wendland, pp. 69-70, from Procopius 352 B (*cf.* Cat. Lips. 215, Ἀδήλου).

23. (Gen. xvi. 5)
Τὸ "ἐκ σοῦ" οὐκ ἀντὶ τοῦ "ὑπὸ σοῦ" . . . ἀλλ' ἔστι χρονικὸν τῷ ἑξῆς συναπτόμενον· ἐξ οὗ σοι καὶ ἀφ' οὗ χρόνου ἐγὼ "δέδωκα τὴν παιδίσκην μου." Οὐ γὰρ γυναῖκα εἶπεν ἢ γαμετὴν τὴν ἐξ αὐτοῦ κύουσαν.
Wendland, p. 70, from Procopius 352 B (the next two sentences in Procopius do not belong here).

[a] *ἀστείων* ex Arm. con. Wendland.
[b] *θεραπαίνης τιμῆς* con. Wendland.
[c] *κυριώτερον* Mai.

24. (Gen. xvi. 6)
Ἔπαινον ἔχει τὸ ῥητὸν τοῦ σοφοῦ μήτε γυναῖκα μήτε γαμετὴν ἀλλὰ παιδίσκην εἰπόντος τῆς γαμετῆς τὴν ἐξ αὐτοῦ κύουσαν.
Wendland, p. 70, from Cat. Barb. vi. 8, f. 130, Φίλωνος ἐπισκόπου.

26. (Gen. xvi. 6)
Οὐ γάρ[a] πᾶσα ψυχὴ δέχεται νουθεσίαν ἀλλ' ἡ μὲν ἵλεως ἀγαπᾷ τοὺς ἐλέγχους καὶ τοῖς παιδεύουσι μᾶλλον οἰκειοῦται, ἡ δὲ ἐχθρὰ μισεῖ καὶ ἀποστρέφεται[b] καὶ ἀποδιδράσκει τοὺς πρὸς ἡδονὴν λόγους, τῶν ὠφελεῖν δυναμένων προκρίνουσα.
Wendland, pp. 70-71, from Procopius 352 B = Harris, p. 30, from Cat. Lips. col. 216, Προκοπίου.

29. (Gen. xvi. 8)
Καὶ τὸ εὔγνωμον δὲ αὐτῆς παρίσταται ἐκ τοῦ λέγειν Σάρραν κυρίαν καὶ μηδὲν περὶ αὐτῆς φαῦλον εἰπεῖν. Καὶ τὸ τοῦ ἤθους δὲ ἀνυπόκριτον πῶς οὐκ ἐπαινετόν; ὁμολογεῖ γὰρ ὃ πέπονθεν, ὅτι τὸ πρόσωπον, λέγω δὲ τὴν φαντασίαν τῆς ἀρετῆς καὶ σοφίας, καταπέπληκται καὶ τὸ τῆς ἐξουσίας βασιλικόν· οὐ γὰρ ὑπομένει τὸ ὕψος καὶ μέγεθος θεωρεῖν ἀλλ' ἀποδιδράσκει· ἔνιοι γὰρ οὐ μίσει τῷ πρὸς ἀρετὴν φεύγουσιν αὐτήν, ἀλλ' αἰδοῖ κρίνοντες ἑαυτοὺς ἀναξίους συμβιοῦν τῇ δεσποίνῃ.
Wendland, p. 71, from Procopius 354 B.

30. (Gen. xvi. 9)
Τὸ ὑποτάττεσθαι τοῖς κρείττοσιν ὠφελιμώτατον. Ὁ μαθὼν ἄρχεσθαι καὶ ἄρχειν εὐθὺς μανθάνει. Οὐδὲ γὰρ εἰ πάσης γῆς καὶ θαλάττης τὸ κράτος ἀνάψοιτό τις, ἄρχων ἂν εἴη πρὸς ἀλήθειαν, εἰ μὴ μάθοι καὶ προπαιδευθείη τὸ ἄρχεσθαι.
Harris, p. 30, "The first sentence from Mai, *Script. Vet.* vii. 103, *e* Cod. Vat. 1553, ἐκ τοῦ πρώτου τῶν ἐν τῇ Γενέσει ζητημάτων. Also Dam. Par. 359 and Cod. Reg. 923, fol. 74, in each case referred to Greg. Nazianz. The last part in Dam. Par. 359 as from Philo, and in Cod. Reg. *l.c.*, ἐκ τοῦ α΄ τῶν ἐν Γενέσει ζητημάτων."

[a] γὰρ om. Cat. Lips.
[b] καὶ ἀποστρέφεται om. Procopius.

38. (Gen. xvi. 16)

(*a*) *Ὁ γὰρ ἓξ ἀριθμὸς γεννητικώτατός ἐστιν ὡς ἀρτιοπέριττος, μετέχων καὶ τῆς δραστικῆς οὐσίας κατὰ τὸν περιττὸν καὶ τῆς ὑλικῆς κατὰ τὸν ἄρτιον. Ὅθεν καὶ ἀρχαῖοι γάμον καὶ ἁρμονίαν αὐτὸν ἐκάλεσαν.*

Staehle, p. 33, from Joh. Lydus, p. 32, 4-8.

(*b*) *Μακαρία φύσις ἡ ἐπὶ παντὶ χαίρουσα καὶ μηδενὶ δυσαρεστοῦσα τῶν ἐν τῷ κόσμῳ τὸ παράπαν,*[a] *ἀλλ' εὐαρεστοῦσα*[b] *τοῖς γινομένοις ὡς καλῶς καὶ συμφερόντως γινομένοις.*

Harris, p. 97 (" unidentified," but located by Früchtel), from Dam. Par. 372 and 675, also Cod. Reg. 923, f. 38 b, and Georgius Monachus, col. 1116.

40. (Gen. xvii. 1-2)

Ἢ ὡς μήπω ἀμέμπτῳ ἢ ὡς τοιούτῳ μέν, δεομένῳ δὲ ἀεὶ ἐνεργεῖν τὸ ἄμεμπτον, ὡς ἂν διὰ παντὸς ἄμεμπτος ᾖ. Τὸ δὲ " θήσομαι τὴν διαθήκην μου " ὡς περὶ ἄθλου ἐπαγγελία, καὶ αὐτῆς διδομένης τῷ εὐαρεστοῦντι ἐναντίον αὐτοῦ καὶ γενομένῳ ἀμέμπτῳ. Ἐπάγει δὲ καί· " πληθυνῶ σε σφόδρα."

Wendland, p. 71, from Procopius 353 c (" die philonische Vorlage hat Pr. wohl auch hier . . . nicht selbst benutzt; denn die Uebereinstimmung ist keine wörtliche ").

41. (Gen. xvii. 3)

Τὸ δὲ μέγεθος τῶν ἐπαγγελιῶν καὶ τὸ τὸν θεὸν ἀξιοῦν αὐτοῦ θεὸν εἶναι καταπλαγεὶς ἔπεσεν ἐπὶ τὸ πρόσωπον.

Wendland, p. 72, from Procopius 356 B, " passt durchaus in philonische Gedankenkreise."

48. (Gen. xvii. 12)

Οἴησις, ὡς ὁ τῶν ἀρχαίων λόγος, ἐστὶν ἐκκοπὴ προκοπῆς· ὁ γὰρ κατοιόμενος βελτίωσιν οὐκ ἀνέχεται.

Harris, p. 99 (" unidentified," but located by Früchtel), from Dam. Par. 704 (" note that on p. 629 this is given to Cyril, and so in Cod. Reg. 923, f. 36 b ").

[a] *τῶν . . . παράπαν* om. Georg. Mon.
[b] *εὐχαριστοῦσα* Georg. Mon.: *τῶν . . . εὐαρεστοῦσα* om. Cod. Reg.

52. (Gen. xvii. 14)

Οὐδὲν τῶν ἀκουσίων ἔνοχον ἀποφαίνει ὁ νόμος, ὁπότε καὶ τῷ φόνον ἀκούσιον δράσαντι συγγινώσκει. . . . Τὸ *δὲ ὀκτὼ ἡμερῶν μετὰ γέννησιν βρέφος εἰ μὴ περιτέμνηται, τί ἀδικεῖ ὡς καὶ θανάτου τιμωρίαν ὑπομένειν;* Ἔνιοι *μὲν οὖν φασιν ἀναφορικὸν εἶναι τὸν τῆς ἑρμηνείας*[a] *τρόπον ἐπὶ τοὺς γονεῖς, καὶ ἐκείνους κολάζεσθαι οἴονται δεινῶς, ὡς ὀλιγωρηκότας τῆς τοῦ νόμου διατάξεως.* Ἔνιοι *δὲ ὅτι ὑπερβολῇ χρώμενος κατὰ τοῦ βρέφους, ὅσα τῷ δοκεῖν, ἠγανάκτησεν, ἵνα τοῖς τελείοις καταλύσασι*[b] *τὸν νόμον ἀπαραίτητος ἐπάγηται τιμωρία*[c]*· οὐκ ἐπειδὴ τὸ ἔργον τῆς περιτομῆς ἀναγκαῖον ἀλλ' ὅτι ἡ διαθήκη ἀθετεῖται, τοῦ σημείου, δι' οὗ γνωρίζεται, μὴ πληρουμένου.*

Harris, p. 31, from Cat. Ined. Cod. Reg. 1825 (Mangey ii. 675), and Cat. Burney, f. 45, *Φίλωνος Ἑβραίου*, also Cat. Lips. 1, col. 225 (" the last sentence looks like an added gloss ").

Οὐδὲν τῶν ἀκουσίων ἔνοχον ἀποφαίνει ὁ νόμος, ὁπότε καὶ τῷ φόνον ἀκούσιον δράσαντι συγγινώσκει. Τί *οὖν ἀδικεῖ τὸ ὀκτὼ ἡμερῶν βρέφος, εἰ μὴ περιτμηθήσεται; ἀλλ' ἢ τὴν ἀναφορὰν ἐπὶ τοὺς γονεῖς ἐκληπτέον κολαζομένους, εἰ μὴ περιτέμοιεν τὸ παιδίον, ἢ γοῦν ὑπερβολικῶς κατὰ τοῦ βρέφους, ὅσα τῷ δοκεῖν, ἠγανάκτησεν, ἵνα τοῖς τελείοις ἀπαραίτητος γίνηται.*

Wendland, pp. 72-73, from Procopius, Cod. Aug. f. 98r (Migne, p. 357 A).

58. (Gen. xvii. 19) Καὶ *ἰδοὺ Σάρρα ἡ γυνή σου τέξεταί σοι υἱόν.*

Ἡ *ὁμολογία, φησίν, ἡ ἐμὴ κατάφασίς ἐστιν ἀκραιφνής, ἀμιγὴς ἀρνήσεως καὶ ἡ σὴ πίστις οὐκ ἀμφίβολος ἀλλ' ἀνενδοίαστος, αἰδοῦς καὶ ἐντροπῆς μετέχουσα.* Ὅθεν *ὃ προείληφας γενησόμενον διὰ*

[a] *τιμωρίας* Catt. Lips., Burney.
[b] *καταλύουσι* Cat. Lips.
[c] *ἀπαραιτήτως ἐπάγηται τιμωρίας* Cat. Burney.

τὴν πρὸς ἐμὲ πίστιν, γενήσεται πάντως· τοῦτο γὰρ μηνύει τὸ "ναί."

Wendland, p. 73, from Procopius, Cod. Aug. f. 98[v] (Migne, p. 358).

61. (Gen. xvii. 24-25)

Ὁ γὰρ τῶν δεκατριῶν ἀριθμὸς συνέστηκεν ἐκ τῶν πρώτων δυοῖν τετραγώνων, τοῦ τέσσαρα καὶ τοῦ ἐννέα, ἀρτίου τε καὶ περιττοῦ, πλευρὰς ἐχόντων τοῦ μὲν ἀρτίου τὸ ὑλικὸν εἶδος δυάδα, τοῦ δὲ περιττοῦ τὴν δραστήριον ἰδέαν τριάδα. Οὗτος οὖν ὁ ἀριθμὸς ἡ μεγίστη καὶ τελειοτάτη τῶν ἑορτῶν γέγονε τοῖς ἀρχαίοις[a] ἐπιτήρησις.

Staehle, p. 59, from Joh. Lydus, 45, 12-18.

[a] ἀρχαῖος Staehle.

8. (Gen. xviii. 6-7)

(*a*) *Μεγίστη δὲ ἡ τῆς τριάδος καὶ κατ' αἴσθησιν δύναμις. Ὁ γὰρ κατ' αὐτὴν ἀριθμὸς τοῖς γενητοῖς ἐπιδέδωκε γένεσιν, αὔξησιν, τροφήν, καὶ οὐχ ἁπλῶς εἴρηται· " τριχθὰ δὲ πάντα δέδασται." . . . Διὰ μὲν τοῦτο οἱ Πυθαγόρειοι τριάδα μὲν ἐν ἀριθμοῖς, ἐν δὲ σχήμασι τὸ ὀρθογώνιον τρίγωνον ὑποτίθενται στοιχεῖον τῆς τῶν ὅλων γενέσεως. Ἓν μὲν οὖν μέτρον ἐστί, καθ' ὃ συνέστη ὁ ἀσώματος καὶ νοητὸς κόσμος. Δεύτερον δὲ μέτρον, καθ' ὃ ἐπάγη ὁ αἰσθητὸς οὐρανός, πέμπτην λαχὼν καὶ θειοτέραν οὐσίαν, ἄτρεπτον καὶ ἀμετάβολον. Τρίτον δὲ καθ' ὃ ἐδημιουργήθη τὰ ὑπὸ σελήνην, ἐκ τῶν τεσσάρων δυνάμεων, γένεσιν καὶ φθορὰν ἐπιδεχόμενα.*

Staehle, pp. 25-26, from Joh. Lydus, pp. 25, 12-16 and 28, 8-16.

(*b*) *Οὐ θέμις τὰ ἱερὰ μυστήρια ἐκλαλεῖν ἀμυήτοις ἄχρις ἂν καθαρθῶσιν*[a] *τελείᾳ καθάρσει, ὁ γὰρ ἀνοργίαστος καὶ εὐχερής, ἀσώματον καὶ νοητὴν φύσιν ἀκούειν ἢ βλέπειν ἀδυνατῶν, ὑπὸ τῆς φανερᾶς ὄψεως ἀπατηθεὶς μωμήσεται τὰ ἀμώμητα. Τοῖς ἀμυήτοις ἐκλαλεῖν μυστήρια καταλύοντός ἐστι τοὺς θεσμοὺς τῆς ἱερατικῆς τελετῆς.*

Harris, p. 69 (" unidentified," but located by E. Bréhier), from Dam. Par. 533 (*cf.* Dam. Par. 782 = Cod. Rupef. f. 189, and Cod. Reg. 923, f. 25 b, " by the last two expressly referred to *II. Quaest. in Gen.*").

10. (Gen. xviii. 8) *Αὐτὸς δὲ παρειστήκει αὐτοῖς ὑπὸ τὸ δένδρον. Αὐτουργῶν δὲ τὴν ὑπηρεσίαν ὁ τιη' καὶ δέκα κεκτημένος οἰκογενεῖς καὶ πολλοὺς ἀργυρωνήτους τὴν θείαν ὑπόνοιαν περὶ αὐτῶν δείκνυσιν οὐ συγχωρῶν οἰκέταις τὴν ἱερατικὴν θεοῦ διακονίαν, αὐτὸς δὲ ταύτην, εἰ καὶ πρεσβύτης, ἀναδεχόμενος.*

Wendland, p. 74, from Procopius, Cod. Aug. f. 100v (*cf.* Ἀκακίου, Cat. Lips. 234).

[a] *ἄχρι καθαρσῶσι* Cod. Reg.

20. (Gen. xviii. 16)
Μόλις διαζεύγνυται δυσαποσπάστως ἔχων, ὡς βούλεσθαι καὶ ἀποδημεῖν. Ἄμεινον δὲ τοῦ πέμπειν κοινωνικώτατον ἦθος ἐμφαῖνον.
Wendland, p. 74, from Procopius 368 B.

24. (Gen. xviii. 21)
Ἡμᾶς τοίνυν διδάσκει μὴ ἐπιτρέχειν πίστει κακῶν μέχρι<ς ἂν> πεισθῶμεν τῇ θέᾳ.
Wendland, p. 74, from Procopius, Cod. Aug. f. 101v (Migne, p. 368 c, *cf.* Cat. Lips. 239 B-Γ).

30. (Gen. xix. 1)

Τῷ μὲν Ἀβραὰμ φαίνονται τρεῖς, καὶ μεσημβρίας· τῷ δὲ Λὼτ δύο, καὶ ἑσπέρας. Φυσικώτατα διάφορον εἰσηγεῖται ὁ νόμος τελείου καὶ προκόπτοντος· ὁ μὲν οὖν τέλειος τριάδα φαντασιοῦται ἐν ἀσκίῳ φωτὶ καὶ μεσημβρινῷ, μεστὴν διηνεκῆ καὶ πληρεστάτην οὐσίαν· ὁ δὲ δυάδα, διαίρεσιν καὶ τομὴν καὶ κενὸν ἔχουσαν ἐν ἑσπερινῷ σκότει.
Harris, p. 32, from Pitra, *Anal. Sacr.* ii. 23 *e* Cod. Coislin. 276 (?), f. 10 " with heading, *φησὶ γὰρ τοῦτο ὁ ἐν λόγοις ἐξαίρετος Φίλων.*"

Πρὸς μὲν Ἀβραὰμ οἱ τρεῖς ἄνδρες καὶ μεσημβρίας, εἰς Σόδομα δὲ οἱ δύο ἄγγελοι καὶ ἑσπέρας.
Wendland, p. 74, from Procopius, Cod. Aug. f. 102r (Migne, p. 370 c = Cat. Lips. 241-242, Ἀδήλου).

33. (Gen. xix. 2)
(*a*) *Τῷ μὲν Ἀβραὰμ εὐχερῶς ἐπείσθησαν, τῷ δὲ Λὼτ μετὰ βίας.*
Wendland, p. 75, from Procopius 370 D.

(*b*) *Στενοχωρεῖται πᾶς ἄφρων, θλιβόμενος ὑπὸ φιλαργυρίας καὶ φιλοδοξίας καὶ φιληδονίας καὶ τῶν ὁμοιοτρόπων ἅπερ οὐκ ἐᾷ τὴν διάνοιαν ἐν εὐρυχωρίᾳ διάγειν.*[a]
Harris, p. 32, from Dam. Par. 362, *ἐκ τοῦ β′ τῶν ἐν Γενέσει*, and Cod. Reg. 923, *ἐκ τῶν δ′*, " also Cod. Barocc. 143 . . . (Mangey ii. 674), and in Cod. Rupef. f. 73 b without a title."

[a] *διαβαίνειν* Cod. Barocc.

40. (Gen. xix. 10)
Νόμος ἔστω κατὰ τῶν σεμνὰ καὶ θεῖα οὐ[a] *σεμνῶς καὶ θεοπρεπῶς ὁρᾶν ἀξιούντων, κόλασιν ἐπιφέρειν ἀορασίας.*
Harris, pp. 32-33, from Dam. Par. 341, "where it is ascribed to Clem. Alex.," and Cod. Reg. 923, f. 62 b, *ἐκ τοῦ δʹ τῶν ἐν Γενέσει ζητημάτων.*

43. (Gen. xix. 14)
Οἱ ἐν ταῖς ἀφθόνοις χορηγίαις πλούτου καὶ δόξης καὶ τῶν ὁμοιοτρόπων ὑπάρχοντες, καὶ ἐν ὑγιείᾳ καὶ εὐαισθησίᾳ σώματος καὶ εὐεξίᾳ ζωῆς καὶ τὰς διὰ πασῶν τῶν αἰσθήσεων ἡδονὰς καρπούμενοι[b] *νομίζοντες τῆς ἄκρας εὐδαιμονίας ἀφῖχθαι,*[c] *μεταβολὴν οὐ προσδοκῶσιν, ἀλλὰ καὶ τοὺς λέγοντας ὅτι πάντα περὶ τὸ σῶμα καὶ ἐκτὸς ἐπικαίρως ἔχει, γέλωτα καὶ χλεύην τίθενται.*
Harris, p. 33, from Mai, *Script. Vet.* vii. 101 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τῶν δʹ τῶν ἐν Γενέσει ζητημάτων.*

44. (Gen. xix. 16)
. . . *τῆς χειρὸς αὐτοῦ· οὐκ ἄρα λόγοις μόνον ἡμᾶς παρακαλεῖ πρὸς ἁμαρτίας ἀποφυγήν, ἀλλὰ καὶ ἐνεργὸν τὴν ἐπικουρίαν χαρίζεται.*
Wendland, p. 75, n. 1, from Procopius, Cod. Aug. f. 102v= Migne, p. 371 B ("wahrscheinlich geht auf Philons Einfluss zurück").

47. (Gen. xix. 18-20)
Ὁ σοφὸς ἠρεμίαν καὶ ἀπραγμοσύνην καὶ σχολὴν μεταδιώκει[d] *ἵνα τοῖς θείοις θεωρήμασιν ἐν ἡσυχίᾳ ἐντύχῃ. Ὁ φαῦλος πόλιν τε καὶ τὸν κατὰ πόλιν ὄχλον τε καὶ φυρμὸν ἀνθρώπων ὁμοῦ καὶ πραγμάτων μεταδιώκει. Φιλοπραγμοσύναι γὰρ καὶ πλεονεξίαι, δημοκοπίαι τε καὶ δημαρχίαι τῷ τοιούτῳ τιμαί, τὸ δὲ ἡσυχάζειν ἀτιμώτατον.*
Harris, p. 33, "the first sentence is Dam. Par. 376, also Cod. Reg. 923, f. 85, where it is *ἐκ τοῦ αʹ τῶν ἐν Γενέσει*, and Maximus ii. 599 . . . the last part is found in Anton Melissa (Migne, *Patr. Gr.* 136, col. 1193 . . .)."

[a] *μὴ* Cod. Reg.
[b] Harris (p. 110) : *κρατούμενοι* codd.
[c] Harris : *ἠφίχθαι* codd. : *ἐφικέσθαι* prop. Harris.
[d] *καὶ σχολὴν μεταδιώκει*] *διώκει* Maximus.

51. (Gen. xix. 23)

(*a*) *Διὰ τί, "ἐξῆλθεν ὁ ἥλιος ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ";*

Καί φησιν· Ὁ αὐτὸς χρόνος γίνεται καὶ τοῖς προκόπτουσιν εἰς σωτηρίαν, καὶ τοῖς ἀνιάτως ἔχουσι πρὸς κόλασιν. Καὶ ἐν ἀρχῇ δὴ ἡμέρας εὐθὺς ἀνατείλαντος τοῦ ἡλίου τὴν δίκην ἐπάγει, βουλόμενος δεῖξαι ὅτι ἥλιος καὶ ἡμέρα καὶ φῶς καὶ ὅσα ἄλλα[a] *ἐν κόσμῳ καλὰ καὶ τίμια μόνοις ἀπονέμεται τοῖς ἀστείοις, φαύλῳ δὲ οὐδενὶ τῶν ἀθεράπευτον κακίαν ἐχόντων.*

Harris, p. 34, from Cat. Ined. Cod. Reg. 1825 (Mangey ii. 675), Cat. Burney, f. 37 and Cat. Lips. 1, col. 251.

Οὐ μεσημβρίας γίνεται ὁ τοῦ πυρὸς ὑετός, ἀλλ' ὄρθρου ὅτε καταψύχει πως ὁ ἀήρ . . . ὅρα δὲ πάλιν ἱστορικώτερον, ὡς ὁ αὐτὸς χρόνος γίνεται καὶ τοῖς προκόπτουσιν εἰς σωτηρίαν καὶ τοῖς ἀνιάτοις εἰς κόλασιν. Ἡλίου γὰρ ἀνατείλαντος ἑκάτερον γέγονεν.

Wendland, p. 75, from Procopius 373 A and Cod. Aug. f. 104r (Migne, p. 375).

(*b*) *Ἐκ τοῦ οὐρανοῦ, ἐξ οὗ γίνονται οἱ ἐτήσιοι χειμῶνες καὶ ὑετοὶ πρὸς αὔξησιν τῶν φυομένων, ὅσα σπαρτὰ καὶ δένδρα πρὸς γένεσιν καρπῶν εἰς ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων τροφάς, καταρραγῆναί φησι τὸ θεῖον καὶ τὸ πῦρ ἐπὶ φθορᾷ τῶν κατὰ γῆν ἁπάντων ἵν' ἐπιδείξηται ὅτι καὶ τῶν καιρῶν καὶ τῶν ἐτησίων ὡρῶν αἴτιος οὐθ' ὁ οὐρανὸς οὐθ' ὁ ἥλιος οὐθ' αἱ τῶν ἄλλων ἀστέρων χορεῖαι καὶ περιπολήσεις, ἀλλ' ἡ τοῦ πατέρος δύναμις.*[b] *Δηλοῖ δὲ καὶ ἡ τεθαυματουργημένη πρᾶξις οὐ*

Ἐξ οὐρανοῦ δὲ τὸ πῦρ πρὸς φθοράν, ὅθεν ὑετοὶ πρὸς ζωήν, ὡς ἂν δειχθῇ μὴ τῶν καρπῶν αἴτιος ὑπάρχων οὐρανὸς καὶ ἀστέρες ὡς οὐδὲ τῶν ὄμβρων, ἀλλ' ὁ πέμπων τούτους θεός, ὅς γε καὶ τὸ πῦρ ἀντὶ τούτων ἀπέστειλε παρὰ φύσιν ἐπὶ τὰ κάτω πεμφθέν.

Wendland, p. 75, from Procopius, Cod. Aug. f. 104r (Migne, p. 375).

[a] *ἄλλα* om. Cat. Burney.

[b] *ἐφεδρεύοντος μὲν ὡς ἅρματι πτηνῷ σύμπαντι τῷ κόσμῳ, ἡνιοχοῦντος δ' αὐτὸν ὡς βέλτιστ' ἂν νομίσειεν* ex Arm. add. Lewy.

τὸ καθεστὸς[a] *ἐπὶ τῶν στοιχείων ἔθος ἀλλά τινα δύναμιν αὐτοκρατῆ καὶ αὐτεξούσιον μεταστοιχειοῦσαν, ὡς ἂν προέληται, τὰ σύμπαντα.*

Lewy, p. 58, from Catt. Len. f. 63r, Barb. f. 141v-142r, Mosq. f. 217 r-v, *Φίλ. ἐπισκ.*

(*c*) *Φύσει μὲν γὰρ κοῦφα θεῖον καὶ πῦρ ἐστὶν καὶ διὰ τοῦτο ἄνω φοιτᾷ· τὸ δὲ τῆς ἀρᾶς κεκαινουργημένον ἤλλαξε πρὸς τοὐναντίον τὴν κίνησιν ἄνωθεν κάτω βιαζόμενον ἐνεχθῆναι τὰ κουφότατα ὡς τὰ τῶν ὄντων βαρύτατα.*

Lewy, p. 58, from Catt., as in (*b*) above.

Φύσει μὲν κοῦφα θεῖον καὶ πῦρ· τὸ δὲ τῆς ἀρᾶς κεκαινουργημένον ἤλλαξε πρὸς τοὐναντίον τὴν κίνησιν.

Harris, p. 34, from Cat. Burney, f. 46 b, *Φίλωνος ἐπισκόπου*, and Cat. Lips. col. 252, *Ἀδήλου*.

52. (Gen. xix. 26)

Οἱ δὲ ἄγγελοι παραγγέλλουσι μὴ ἀποκλίνειν ὀπίσω. Ἤιδεσαν γὰρ ὅτι οἱ μὲν ἴσως ἐφησθήσονται ταῖς συμφοραῖς ἰδόντες—χαίρειν δὲ ἐπὶ ταῖς τῶν ἑτέρων[b] *ἀτυχίαις εἰ καὶ δίκαιον, ἀλλ' οὐκ ἀνθρώπινον· τὸ γὰρ μέλλον ἄδηλον—, οἱ δὲ ἴσως μαλακισθήσονται καὶ πλέον τοῦ μετρίου δυσανασχετήσουσι περιαλγοῦντες ἡττώμενοι φίλων καὶ συνηθείας. Καὶ πάλιν αὕτη τρίτη αἰτία· θεοῦ γάρ, φησίν, ὦ*[c] *ἄνθρωποι, κολάζοντος μὴ κατανοεῖτε. Ἀπόχρη γὰρ ὑμῖν τοῦτο γνῶναι, ὅτι ὑπέμειναν τιμωρίαν οὓς ἔχρην*[d]*· τὸ δὲ πῶς ὑπέμειναν*[e] *περιεργάζεσθαι προπετείας καὶ θράσους, οὐκ εὐλαβείας ἂν εἴη.*

Wendland, p. 76, from Procopius, Cod. Aug. f. 104r (Migne, p. 375). The phrase *χαίρειν . . . ἀνθρώπινον* is also in Harris, p. 34, from Dam. Par. 509, ascribed to Nilus, and Cod. Reg. 923, f. 154 b, ascribed to Philo, and Mai, *Script.*

[a] ex Arm. Lewy : *καθ' ἕκαστον* codd.
[b] *ἐχθρῶν* Cod. Reg.
[c] *ὡς* Catt. Lips., Burney.
[d] *ἀπόχρη . . . ἔχρην*] *ὅτι μὲν γὰρ τιμωροῦνται ἔχρην γνῶναι* Catt. Lips., Burney.
[e] *ὑπέμειναν* om. Catt. Lips., Burney.

Vet. vii. 102, from Cod. Vat. 1553, *ἐκ τοῦ γ' τῶν ἐν Γενέσει ζητημάτων*. The last part, *θεοῦ γάρ . . . εὐλαβείας* (*ἂν εἴη*), is also in Harris, pp. 34-35, from Cat. Lips. col. 248 and Cat. Burney, f. 46 b, *Φίλωνος ἐπισκόπου*.

54. (Gen. xix. 29) *Ἐμνήσθη δὲ ὁ θεὸς τοῦ Ἀβραὰμ καὶ ἐξαπέστειλε τὸν Λώτ.*

Ὥστε διὰ τὸν Ἀβραὰμ διασέσωσται (καὶ αὐτός τι μέρος εἰσενεγκών).

Wendland, p. 76, from Procopius, Cod. Aug. f. 104[r].

56. (Gen. xix. 31-32) *Ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν νυκτί.*

. . . δι' ὧν δέ φασι " καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς ὃς εἰσελεύσεται πρὸς ἡμᾶς," δεικνύουσιν ὡς οὐ πάθος ἀκολασίας ἤλασεν αὐτὰς ἐπὶ τοῦτο ἀλλὰ φειδὼ τοῦ γένους, ὅθεν εὐσύγγνωστοι. . . . Οὕτως οἰκονομία τις ἦν καὶ ἐπὶ τῶν θυγατέρων τοῦ Λώτ, ἐπειδὴ μὴ δι' ἀκολασίαν καὶ παίδων ἐπιθυμίαν τὸ γεγονός.

Wendland, p. 77, from Procopius, Cod. Aug. f. 104[v] (Migne, p. 378 A, *cf.* Theodore, Cat. Lips. 255) and Procopius 474 A.

64. (Gen. xx. 4-5)

Οὐχ ὡς τὸ ἑκουσίως ἁμαρτάνειν ἐστὶν ἄδικον, οὕτω τὸ ἀκουσίως καὶ κατ' ἄγνοιαν εὐθὺς δίκαιον, ἀλλὰ τάχα που μεθόριον ἀμφοῖν, δικαίου καὶ ἀδίκου, τὸ ὑπό τινων καλούμενον ἀδιάφορον. Ἁμάρτημα γὰρ οὐδὲν ἔργον δικαιοσύνης.

Harris, p. 35, from Dam. Par. 520 and Cod. Reg. 923. See also Wendland, p. 78, who prints a brief paraphrase from Procopius 380 A, *ὁ μὲν δίκαιος οὐκ ἐν ἀγνοίᾳ ἀλλ' ἐπιστήμῃ*.

67. (Gen. xx. 10-11)

Οὐ πάντα ἀληθῆ λεκτέον ἅπασιν· ὅθεν καὶ νῦν ὁ ἀστεῖος ὅλον οἰκονομεῖ τὸ πρᾶγμα μεταθέσει καὶ ἀπαλλαγῇ τῶν ὀνομάτων.

Harris, p. 35, from Mai, *Script. Vet.* vii. 106 = Cod. Vat. 1553, *ἐκ τῶν ἐν Γενέσει ζητημάτων*.

69. (Gen. xx. 16)

Τὸ δὲ " πάντα ἀλήθευσον " ἀφιλοσόφου καὶ ἰδιώτου παράγγελμα·

εἰ μὲν γὰρ ὁ μὲν ἀνθρώπων βίος εὐώδει μηδὲν παραδεχόμενος ψεῦδος, εἰκὸς ἦν ἐπὶ παντὶ πρὸς πάντας ἀληθεύειν· ἐπειδὴ δὲ ὑπόκρισις ὡς ἐν θεάτρῳ[a] *δυναστεύει καὶ τὸ ψεῦδος παραπέτασμα τῆς ἀληθείας ἐστί, τέχνης δεῖ τῷ σοφῷ πολυτρόπου, καθ' ἣν ὠφελήσει μιμούμενος τοὺς ὑποκριτὰς οἳ ἄλλα λέγοντες ἕτερα δρῶσιν ὅπως διασώσωσιν οὓς δύνανται.*

Harris, p. 35, from Mai, *Script. Vet.* vii. 106 = Cod. Vat. 1553.

73. (Gen. xxiii. 2-3)

Προπάθεια καὶ οὐ πάθος τοῦ Ἀβραὰμ *διὰ τούτων δεδήλωται. Οὐ γὰρ εἴρηται ὅτι ἐκόψατο ἀλλ' ὅτι ἦλθε κόψασθαι.* Τοῦτο *δηλοῖ καὶ τὸ "ἀνέστη* Ἀβραὰμ *ἀπὸ τοῦ νεκροῦ," μὴ προλεχθέντος τοῦ "ἐκόψατο."*

Wendland, p. 78, from Procopius, Cod. Aug. f. 110r (Migne, p. 394, *cf.* Cat. Lips. 285, *Εὐσεβίου*).

74. (Gen. xxiii. 4)

Οὕτως γὰρ ὁ σοφίας ἐραστὴς οὐδενὶ τῶν εἰκαιοτέρων, καὶ ἂν συμπεφυκὼς τυγχάνῃ, σύνεστιν ἢ συνδιατρίβει πονηροτάτῳ, διεζευγμένος τῶν πολλῶν διὰ λογισμῶν, δι' οὓς οὔτε συμπλεῖν οὔτε συμπολιτεύεσθαι οὔτε συζῆν λέγεται.

Harris, p. 69 ("unidentified," but located by Früchtel), from Dam. Par. 754 (Cod. Rupef.), *ἐκ τοῦ ε' τῶν αὐτῶν.*

76. (Gen. xxiii. 5-6)

Τῶν μὲν ἀφρόνων βασιλεὺς οὐδείς, καὶ ἂν τὸ πάσης γῆς καὶ θαλάσσης ἀνάψηται κράτος· μόνος δὲ ὁ ἀστεῖος καὶ θεοφιλής, καὶ ἂν τῶν παρασκευῶν καὶ τῶν χορηγιῶν ἀμοιρῇ, δι' ὧν πολλοὶ κρατύνονται τὰς δυναστείας. Ὥσπερ γὰρ τῷ κυβερνητικῆς ἢ ἰατρικῆς ἢ μουσικῆς ἀπείρῳ παρέλκον πρᾶγμα οἴακες καὶ φαρμάκων σύνθεσις καὶ αὐλοὶ καὶ κιθάραι, διότι μηδενὶ τούτων χρῆσθαι πρὸς ὃ πέφυκε, κυβερνήτῃ δὲ καὶ ἰατρῷ καὶ μουσικῷ λέγοιτο ἂν ἐφαρμόζειν· δεόντως οὕτως, ἐπειδὴ τέχνη τίς ἐστι βασιλικὴ καὶ τεχνῶν ἀρίστη, τὸν μὲν ἀνεπιστήμονα χρήσεως ἀνθρώπων ἰδιώτην νομιστέον, βασιλέα δὲ μόνον τὸν ἐπιστήμονα.

Harris, p. 36, the first few lines (to *θεοφιλής*) from Dam. Par. 396 and 776 = Cod. Rupef. f. 115 b, *ἐκ τοῦ α' τῶν ἐν*

[a] ex Arm. Harris : *ἑκατέρῳ* codd.

Γενέσει ζητημάτων, and Cod. Reg. 923, f. 97, ἐκ τοῦ α' τῶν ἐν Γενέσει, the rest of the passage from Dam. Par. 776.

80. (Gen. xxiii. 9, 11)
Τὸ σπήλαιον τὸ διπλοῦν δύω εἰσὶν ἀντρώδεις ὑπωρείαι· ἡ μὲν ἐκτός, ἡ δὲ εἴσω· ἢ δύω περίβολοι· ὁ μὲν περιέχων, ὁ δὲ περιεχόμενος.
Harris, p. 36, from Cat. Lips. col. 288, Προκοπίου.

81. (Gen. xxiii. 11)
Τοῦ δὲ Ἀβραὰμ μόνον τὸ σπήλαιον αἰτοῦντος ὁ Ἐφρὼν ὁρῶν αὐτοῦ τὴν σοφίαν καὶ τὸν ἀγρὸν ἐπιδίδωσιν, οἰόμενος δεῖν ἀφθόνους ἐπιδαψιλεύεσθαι χάριτας.
Wendland, p. 78, from Procopius, Cod. Aug. f. 110r = Cat. Lips. 288, Ἀδήλου.

86. (Gen. xxiv. 2)
Λεχθείη δ' ἂν καὶ ὅτι ἐπὶ μνηστείαν καὶ γάμον πέμπων τὸν παῖδα ὁ Ἀβραὰμ κατὰ τῶν γαμικῶν ὀργάνων ἐξώρκισε, καθαρὰν ὁμιλίαν καὶ γάμον ἀνεπίληπτον, αἰνιττόμενος οὐχ ἡδονὴν τὸ τέλος ἀλλὰ γνησίους ἔχοντα παῖδας.[a]
Wendland, pp. 78-79, from Procopius, Cod. Aug. f. 110v (Migne, p. 365, *cf.* Theodoret, *Quaest.* lxxiv).

88. (Gen. xxiv. 3) *Διατί δὲ μὴ τῷ υἱῷ παραγγέλλει μὴ λαβεῖν Χανανῖτιν, ὥσπερ ὕστερον τῷ Ἰακὼβ οἱ γονεῖς, ἀλλὰ τῷ παιδί;*
. . . καίτοι τελείου τυγχάνοντος Ἰσαὰκ καὶ ἡλικίαν ἔχοντος γάμου . . . καὶ εἰ μὲν ἤμελλε πείθεσθαι, εἰκὸς ἦν αὐτῷ μᾶλλον παρεγγυᾶν· εἰ δὲ ἀπειθεῖν, περιττὴ τοῦ παιδὸς ἡ διακονία. Τὸ γὰρ εἰπεῖν ὅτι, χρησμῷ τῆς γῆς ἐξελθών, πέμπειν εἰς αὐτὴν οὐκ ἠξίου τὸν υἱόν, [εἰ καὶ εὔλογον, ὅμως ἀπαρέσκει τισί] διὰ τὸ μηδ' ἂν τὸν Ἰακώβ, εἰ τοῦτο ἦν ἀληθές, ὑπὸ τῶν γονέων ἐνταῦθα πεμφθῆναι.
Harris, p. 37, from Cat. Lips. col. 292, Προκοπίου.

99. (Gen. xxiv. 16)
(*a*) *Διαγράφει τὸ κάλλος ἵνα μᾶλλον τὴν σωφροσύνην θαυμάσωμεν. Οὐ τὸ κάλλος γὰρ πάντως ἀσελγές, ὡς οὐδὲ σῶφρον ἡ*

[a] *γνησίων παίδων γένεσιν* scripsisse Philonem ex Ambr. *De Abr.* i. 83 con. Wendland.

ἀμορφία. Οὐ σῶμα γὰρ τούτων ἀλλ' ἡ προαίρεσις αἴτιον. Διπλασιάζει δὲ τὸ " παρθένος ἦν," τὸ κατ' ἄμφω σῶφρον ἐμφαίνουσα. Ἔστι γὰρ ἀσελγείαις διεφθάρθαι ψυχήν, ἀκεραίου τοῦ σώματος μένοντος.

Wendland, p. 79, from Procopius 398 B (" zum guten Teile philonisch erscheint mir die Stelle ").

(*b*) *Ἀναιδὲς βλέμμα καὶ μετέωρος αὐχὴν καὶ συνεχὴς κίνησις ὀφρύων*[a] *καὶ βάδισμα σεσοβημένον καὶ τὸ ἐπὶ μηδενὶ τῶν φαύλων ἐρυθριᾶν σημεῖά ἐστι ψυχῆς αἰσχίστης, τοὺς ἀφανεῖς τῶν οἰκείων ὀνειδῶν τύπους*[b] *ἐγγραφούσης τῷ φανερῷ σώματι.*

Harris, p. 37, from Dam. Par. 658 and Cod. Reg. 923, f. 292, *ἐκ τοῦ ε' τῶν ἐν Γενέσει*, also Cramer, *Anec. Oxon.* iv. 254 *e* Cod. Bodl. Clark, f. 11 b, Maximus ii. 633, Anton Melissa (*Patr. Gr.* 136, col. 1225), referring to Greg. Nazianz., and Tischendorf, *Philonea*, p. 154 *e* Cod. Cahirino.

100. (Gen. xxiv. 16)

Φυσικώτατα ταῦτα δέδεικται· κατάβασιν μὲν ψυχῆς τὴν δι' οἰήσεως ἀνάβασιν, ἄνοδον δὲ καὶ ὕψος τὴν ἀλαζονείας ὑπονόστησιν.

Harris, p. 102 (" unidentified," but located by Früchtel), from Cod. Rupef. f. 264.

102. (Gen. xxiv. 17)

Ἄξιον ἀποδέχεσθαι τὸ μηδενὸς ὀρέγεσθαι τῶν ὑπὲρ δύναμιν· πᾶν γὰρ τὸ συμμετρίαν ἔχον, ἐπαινετόν . . . ἀναγκαῖον οὖν τῷ μὲν εὐφυεῖ πλείους εἶναι τὰς διδασκαλίας, ἐλάττους δὲ τῷ ἀφυεῖ διὰ τὴν ἐν ταῖς ἀνάγκαις[c] *ἀρίστην ἰσότητα . . . καὶ τοῦτό γέ ἐστι τὸ βιωφελέστατον ἴσον.*

Harris, p. 38, from Mai, *Script. Vet.* vii. 106, from Cod. Vat. 1553, *Φίλωνος· ἐκ τῶν ἐν Γενέσει ζητημάτων.*

104. (Gen. xxiv. 18)

Οὐχ ὡς δύναται διδάσκειν ὁ διδάσκαλος, οὕτω καὶ μανθάνειν ὁ γνώριμος, ἐπειδὴ ὁ μὲν τέλειος, ὁ δὲ ἀτελής ἐστιν. Ὅθεν προσήκει στοχάζεσθαι τῆς τοῦ παιδευομένου δυνάμεως.

Harris, p. 38, from Dam. Par. 435 and Cod. Reg. 923, f.

[a] *ὀφθαλμῶν* Dam. et Cod. Reg.
[b] *τόποις* Dam. et Cod. Reg.
[c] *ἀναλογίαις* ex Arm. conieci.

116 b, *Φίλωνος· ἐκ τῆς η' τῶν νόμων ἱερῶν ἀλληγορίας*, also Mai, *Script. Vet.* vii. 99, *Φίλωνος· ἐκ τοῦ θ' τῶν ἐν Γενέσει ζητημάτων.*

110. (Gen. xxiv. 22)

(*a*) *Ἀκοῦσαι δεῖ πρῶτον, εἶτα ἐργάσασθαι· μανθάνομεν γὰρ οὐ τοῦ μαθεῖν χάριν ἀλλὰ τοῦ πρᾶξαι.*

Harris, p. 38, from Mai, *Script. Vet.* vii. 99.

(*b*) *Διαφέρει δὲ μονὰς ἑνὸς ᾗ διαφέρει ἀρχέτυπον εἰκόνος· παράδειγμα μὲν γὰρ ἡ μονάς, μίμημα δὲ τῆς μονάδος τὸ ἕν.*

Staehle, p. 19, from Joh. Lydus ii. 6, p. 23, 6.

(*c*) . . . *ἢ ἀπὸ τοῦ διακεκρίσθαι καὶ μεμονῶσθαι ἀπὸ τοῦ λοιποῦ πλήθους τῶν ἀριθμῶν καλεῖται μονάς.*

Staehle, p. 19, from Theon of Smyrna, p. 19, 12 f. (*cf.* Joh. Lydus, p. 21, 20 and Moderatus *ap.* Stob. *Ecl.* I. i. 8).

130. (Gen. xxiv. 52-53)

Δεῖ γὰρ πάσης πράξεως καθαρᾶς ἀρχὴν [εἶναι] τὴν πρὸς θεὸν εὐχαριστίαν καὶ τιμήν· διὰ τοῦτο ὁ παῖς προσκυνεῖ πρότερον, εἶτα χαρίζεται τὰ δῶρα.

Harris, p. 38, from Cod. Vat. 746, f. 53, *Φίλωνος*, *cf.* Pitra, *Analecta Sacra* ii. 314.

131. (Gen. xxiv. 55-56)

Μετανενοήκασιν οἱ πρὸ μικροῦ λέγοντες· "Ἰδοὺ Ῥεβέκκα ἐνώπιόν σου· λαβὼν ἀπότρεχε."

Lewy, p. 59, from Cat. Barb. f. 146v, *Φίλ. ἐπ.*, and Cat. Len. f. 93v, *Φίλωνος*.

144. (Gen. xxiv. 66) *Διὰ τί δὲ ὁ παῖς ὑφ' ἑτέρου πεμφθεὶς ἐπὶ τὴν πρεσβείαν ἑτέρῳ ἀποπρεσβεύει; "διηγήσατο γάρ," φησί, "τῷ Ἰσαάκ."*

Εὐαγγελίζεται τούτῳ δι' ὃν ἐπέμφθη. Καὶ προτέρῳ δὲ ἐνέτυχε κατὰ τὴν ὁδόν. Πάντως δὲ καὶ τῷ Ἀβραὰμ εἶπεν, εἰ καὶ μὴ γέγραπται.

Wendland, p. 79, from Procopius 404 A.

145. (Gen. xxiv. 67) *Διὰ τί δὲ*[a] *οὐκ εἰς τὸν τοῦ πατρὸς οἶκον ἀλλ' εἰς τὸν τῆς μητρὸς εἰσέρχεσθαι λέγεται Ἰσαὰκ ἐπὶ γάμῳ;*

[a] *δὲ* om. Cat. Barb.

Ὅτι ὁ μὲν πατὴρ πλείους ἀγαγόμενος γυναῖκας, δυνάμει[a] *καὶ πλείους*[b] *ἔσχεν οἴκους. Οἶκος γὰρ οὐ μόνον λέγεται*[c] *τὸ οἰκοδόμημα ἀλλὰ καὶ τὸ ἐκ γαμικῆς συζυγίας*[d] *καὶ τέκνων σύστημα.*[e] *ἡ*[f] *δὲ μέχρι τελευτῆς ἐπέμεινε τῷ κουριδίῳ, ὡς διὰ τοῦτο καὶ ἕνα οἶκον ἐσχηκέναι δοκεῖν.*[g]

Wendland, p. 80, from Procopius 404 A, and Cat. Barb. vi. 8, f. 166ʳ, *Φίλωνος ἐπισκόπου*; also, in part, Harris, p. 39, from Cat. Lips. col. 305, *Προκοπίου*.

148. (Gen. xxv. 5-6)
Διαφορὰν δέ φασιν ὑπαρχόντων καὶ δομάτων. τὸ μὲν γὰρ σημαίνει τὰ κτήματα καὶ ὅσα βέβαια τῶν κειμηλίων, δόματα δὲ τὰ χειρόδοτα καὶ ὧν ἡ χρῆσις ἐφήμερος.

Wendland, p. 80, from Procopius 405 B.

152. (Gen. xxv. 8)
Οὐδεὶς κενὸς πλήρης εἶναι μεμαρτύρηται ἡμερῶν.

Wendland, p. 80, from Procopius 405 B and Cat. Lips.

153. (Gen. xxv. 8)
Οὐδεὶς γὰρ προστίθεται τοῖς μὴ οὖσιν, ἄλλος δὲ προστίθεσθαι, φησί, λέγεται λαῷ μήπω γεγονότι. Ἀρχὴ γὰρ αὐτὸς καὶ προπάτωρ τοῦ γένους ἐστί. Τὸν οὖν μέλλοντα δι' αὐτὸν γενέσθαι ὡς ἤδη γεγονότα χαριζόμενος αὐτοῦ τῷ θεοπρεπεῖ τῶν ἀρετῶν ἱδρύεται ᾧ[h] *καὶ λέγεται*[i] *προστίθεσθαι.*

Wendland, p. 81, from Procopius 406 C.

165. (Gen. xxv. 27)
Ἰακὼβ δὲ ἄνθρωπος "ἄπλαστος οἰκῶν οἰκίαν," τουτέστι μηδὲν

[a] *δυνάμει* om. Cat. Lips.
[b] *πλείστους* Cat. Barb.
[c] *λέγεται* om. Procopius.
[d] *ἐκ γαμικῆς συζυγίας*] *ἐξ ἀνδρὸς καὶ γυναικὸς* Cat. Barb.
[e] *οἶκος . . . σύστημα*] *λέγεται γὰρ οἶκος καὶ τὸ ἐκ γυναικὸς καὶ τέκνων σύστημα* Cat. Lips.
[f] *ὁ* Cat. Barb.
[g] *ὁ δὲ . . . δοκεῖν* om. Cat. Lips.
[h] *ὡς* Nicephorus.
[i] Wendland : *λέγεσθαι* codd.

ἔχων ἐπίπλαστον ἢ ἐπείσακτον κακόν . . . καὶ τὴν αἰτίαν τούτου τοῦ ἀπλάστου ἤθους διδάσκει λέγων ὅτι οὐκ ἐρέμβετο ἔξω. Ἴσως δὲ καὶ ἀντιδιαστέλλει τῷ κυνηγέτῃ Ἠσαῦ καὶ ἐν ὑπαίθρῳ διάγοντι.

Wendland, p. 81, from Procopius 410 A, *cf.* Cyril *ap.* Cat. Lips. 315 and Theodoret, *Quaest.* lxxvi.

166. (Gen. xxv. 28)

Τίς δ' ἂν οὐκ ἀγάσαιτο τὸ "ἠγάπησε τὸν Ἠσαῦ· ἡ δὲ Ῥεβέκκα ἠγάπα τὸν Ἰακώβ"; Τὸ μὲν γὰρ παρελήλυθε· τὸ δὲ πάρεστιν ἀεί· ἡ μὲν γὰρ ἀποδοχὴ τοῦ φαύλου κἂν συμβῇ ποτε, ὀλιγοχρόνιός ἐστι καὶ ἐφήμερος· ἡ δὲ τοῦ σπουδαίου ἀθανατίζεται.

Harris, p. 39, from Cat. Lips. col. 315, *Προκοπίου.*

167. (Gen. xxv. 28)

Καὶ τὸ μὲν σπουδαῖον οὐ δι' ἕτερόν τι ἀγαπᾶται· τὸ δὲ μὴ τοιοῦτον, ἐκ τῶν χρειῶν· ἠγάπησε γάρ φησιν ὅτι ἡ θήρα αὐτοῦ βρῶσις αὐτῷ.

Harris, p. 39, from Cat. Lips. col. 315, *Προκοπίου.*

168. (Gen. xxv. 29)

Καὶ τὸ ῥητὸν τῆς διηγήσεως ἔλεγχον ἔχει ἀκολάστου πρὸς νουθεσίαν τῶν θεραπεύεσθαι δυναμένων· ὁ[a] *γὰρ τοῦ τυχόντος ἕνεκα προεψήματος*[b] *ἐκστὰς τῶν πρεσβείων τῷ νεωτέρῳ καὶ δοῦλος γαστρὸς ἡδονῆς ἀναγραφεὶς εἰς ὄνειδος προκείσθω τῶν μήποτε ζῆλον ἐγκρατείας λαβόντων.*

Harris, pp. 39-40, from Cat. Lips. 1, col. 318, *Φίλωνος* (" but the editor remarks *ἴσως τοῦ ἐπισκόπου· ἐν γὰρ τοῖς τοῦ Ἑβραίου οὐχ εὑρίσκεται*"), also Cat. Burney, f. 55, *Φίλωνος ἐπισκόπου*, and Cod. Palat. 203, f. 110 *ap.* Pitra, *Anal. Sacr.* ii. 311.

169. (Gen. xxv. 29)

Ἐπὶ μὲν τῶν σπουδαίων ἡ ἔκλειψις εἶναι λέγεται πρόσθεσις· ἐκλείποντες γὰρ τὸν θνητὸν βίον ἀθανάτῳ ζωῇ προστίθενται· ὁ δὲ

[a] *οὐ* Arm.
[b] *προεψημένων* Cat. Burney : *προσλήμματος* Cod. Palat.

φαῦλος ἔκλειψιν ἀναδέχεται μόνον[a] *λιμὸν ἀρετῆς ὑπομένων ἀδιάστατον μᾶλλον ἢ σίτων καὶ ποτῶν.*
Wendland, p. 82, from Procopius, Cod. Aug. f. 115r (Migne, p. 410).

172. (Gen. xxv. 31)

Τὸ μὲν ῥητὸν οἷα τῷ δοκεῖν ἐμφαίνει πλεονεξίαν νεωτέρου σφετερίζεσθαι[b] *ἀδελφοῦ δίκαια ποθοῦντος. Ὁ δὲ σπουδαῖος οὐ πλεονέκτης ἅτε ὀλιγοδείας καὶ ἐγκρατείας ἑταῖρος. Σαφῶς οὖν ὁ ἐπιστάμενος ὅτι αἱ ἄφθονοι περιουσίαι τῶν φαύλων χορηγοὶ τῶν ἁμαρτημάτων καὶ ἀδικημάτων αὐτοῖς εἰσιν, ἀναγκαιότατον ἡγεῖται τὴν προσαναφλέγουσαν ὕλην, ὡς πυρός, τῆς κακίας ἀφαιρεῖν εἰς βελτίωσιν ἠθῶν· ὅπερ οὐ βλάβην ἀλλὰ μεγίστην ὠφελείαν περιποιεῖ τῷ ζημιοῦσθαι δοκοῦντι.*
Harris, p. 40, from Cat. Lips. 1, col. 316, and Cat. Burney, f. 55, *Φίλωνος ἐπισκόπου.*

Δοκεῖ δὲ τὸ ῥητὸν πλεονεξίαν ἐμφαίνειν τοῦ Ἰακώβ, ὅπερ ἀλλότριον σπουδαίου, εἴπερ ὀλιγοδείας καὶ ἐγκρατείας ἑταῖρος καὶ ὠφελητικός ἐστιν ἐν τοῖς μάλιστα. Σαφῶς οὖν ἐπιστάμενος ὅτι αἱ ἄφθονοι περιουσίαι παντὶ φαύλῳ χορηγοὶ τῶν ἁμαρτημάτων καὶ ἀδικημάτων εἰσίν, ἀναγκαιότατον ἡγεῖται τὴν προσαναφλέγουσαν ὕλην, ὡς πυρός, τῆς κακίας ἀφαιρεῖν εἰς βελτίωσιν ἠθῶν· ὅπερ οὐ βλάβην ἀλλὰ μεγίστην ὠφέλειαν περιποιεῖ τῷ ζημιοῦσθαι δοκοῦντι.
Wendland, pp. 82-83, from Procopius, Cod. Aug. f. 115v (Migne, p. 412).

173. (Gen. xxv. 32) *Ἰδοὺ ἐγὼ πορεύομαι τελευτᾶν. Λόγιόν ἐστι τὸ εἰρημένον. Ὄντως γὰρ ὁ τοῦ φαύλου βίος ἐπὶ θάνατον σπεύδει. Οὐ φησὶ δὲ " ἵνα τί μοι πρωτοτόκια," μετὰ προσθήκης δὲ τοῦ " ταῦτα," ὅ ἐστι τὰ πρὸς ἀρετὴν ἄγοντα καὶ εὐδαιμονίαν. Ἔχω γάρ, φησί, ἐξαίρετα ἕτερα· τὸ ἥδεσθαι, τὸ ἐπιθυμεῖν, τὸ ἀκολασταίνειν, τὸ πλεονεκτεῖν καὶ ὅσα τούτων ἀδελφά.*
Wendland, p. 83, from Procopius, Cod. Aug. f. 115v (Migne, p. 411).

174. (Gen. xxv. 34) *Καὶ ἐφαύλισεν Ἠσαῦ τὰ πρωτοτόκια. Κακίζει γὰρ ὥσπερ ὁ ἀστεῖος τὰ τοῦ φαύλου, καὶ ὁ φαῦλος τὰ*

[a] *μόνον* om. Nicephorus.
[b] + *ἀδικῶς* Cat. Burney.

τοῦ ἀστείου καὶ βουλεύματα καὶ πράξεις καὶ λόγους. Ἀσύμφωνον γὰρ ἁρμονία πρὸς ἀναρμοστίαν.

Wendland, p. 83, from Procopius, Cod. Aug. f. 115v (Migne, p. 411).

179. (Gen. xxvi. 3)

Μεῖζον ἀνθρώπῳ κακὸν ἀφροσύνης οὐδέν ἐστι, τὸ ἴδιον τοῦ λογιστικοῦ γένους, τὸν νοῦν, ζημιωθέντι.

Harris, p. 69 (" unidentified," but located by E. Bréhier), from Dam. Par. 363 and Cod. Reg. 923, f. 76, " in both cases as from the *sixth* book of the Questions on Genesis."

180. (Gen. xxvi. 36)

(*a*) *Ἀδιαφοροῦσιν ὅρκων λόγοι θεοῦ· καὶ κατὰ τίνος ἂν ὤμοσεν ὁ θεός, ὅτι μὴ ἑαυτοῦ; λέγεται δὲ ὀμνύναι διὰ τὴν ἡμετέραν ἀσθένειαν τῶν ὑπολαμβανόντων ὡς ἐπ' ἀνθρώπου διαφέρειν λόγων ὅρκους, οὕτως ἐπὶ θεοῦ. . . .*

Harris, pp. 40-41, from Cat. Lips. col. 319, *Προκοπίου*.

(*b*) *Ἐπαινεῖ δὲ καὶ τὸν υἱὸν ὡς πατρῴας ἄξιον εὐεργίας. Οὐ γὰρ ἂν βεβαιότερον ἱδρύετο τὰς μεθ' ὅρκων γεγενημένας ἐπὶ τοῦ πατρὸς εὐλογίας τῷ υἱῷ, εἰ μὴ καὶ τούτῳ τὴν αὐτὴν ἀρετὴν προσεμαρτύρει.*

Wendland, p. 84, from Procopius, Cod. Aug. 117v (Migne, p. 414 A).

184. (Gen. xxvi. 5)

Διαφέρει δικαιώματα νομίμων· τὰ μὲν γάρ πως δύναται συνίσθασθαι (*sic*) *φύσει, τὰ δὲ νόμιμα θέσει· πρεσβύτερα δὲ τῶν θέσει τὰ φύσει, ὥστε καὶ τὸ δίκαιον νόμου.*

Lewy, p. 59, from Cod. Rupef. 148r, *τοῦ αὐτοῦ* (*sc. Φίλωνος*).

188. (Gen. xxvi. 8)

Ἑβραῖοι δέ φασιν εὐσχημόνως εἰρῆσθαι τὸ " παίζειν " ἀντὶ τοῦ συνουσιάζειν.

Wendland, p. 84, from Procopius 416 B.

189. (Gen. xxvi. 12)

Μαρτυρεῖ δὲ τὸ παρὸν ὅτι τῷ σπουδαίῳ καὶ τὰ κατὰ γεωργίαν

καὶ τἆλλα <τὰ> περὶ βίον εὐοδεῖ καὶ τὰ ἐπιγινόμενα πολλαπλάσια τῶν ἐξ ἀρχῆς γίνεται.

Wendland, p. 84, from Procopius 416 B.

191. (Gen. xxvi. 15)

(*a*) Τοῖς *γὰρ ἀβούλοις ἔθος ἐστὶ μήτε στήλας μήτε μνημεῖόν τι ἀπολιπεῖν τῶν καλῶν εἰς εὐδοξίαν συμβαλλόμενον, ἢ ὅτι ῥηγνύμενοι φθόνῳ καὶ βασκανίᾳ τῆς τε περὶ ἐκείνους*[a] *εὐπραγίας ὀλιγωροῦσι καὶ τῆς αὐτῶν ὠφελείας ἄμεινον ἡγούμενοι βλάπτεσθαι μᾶλλον ἢ ὑφ' ὧν οὐκ ἔτι*[b] *θέλουσιν εὐεργετεῖσθαι.*

Harris, p. 41, from Cat. Burney, f. 55 b, and Cat. Lips. 1, col. 323, *Φίλωνος ἐπισκόπου.*

Οἱ δὲ ἐμπαθεῖς καὶ τὰ μνημεῖα τῶν ἀγαθῶν ἐξαλείφουσι, κἂν τύχωσιν ἐξ αὐτῶν ὠφελούμενοι, προτιμῶντες βλάβην μᾶλλον ἢ τὴν ἐξ ὧν μὴ θέλουσιν εὐεργέσιαν. Ὠφέλουν γὰρ αἱ πηγαὶ καὶ τῶν Φυλιστιεὶμ τοὺς βουλομένους κεχρῆσθαι.

Wendland, p. 84, from Procopius, Cod. Aug. f. 118r (Migne, p. 415).

(*b*) Τί *γὰρ ἐκώλυεν, εἴποι τις ἄν, ὦ πάντων ἠλιθιώτατοι, τὰς πηγὰς ἐᾶσαι, ἃς ἕτερος εὗρεν πρὸς τὴν τῶν παρ' ὑμῖν αὐτοῖς δεομένων χρῆσιν; Ἀλλ' ἀποκρίνεταί τις·* " Μὴ *ζήτει παρὰ βασκάνων ἀπολογίαν εὐγνώμονα,*[c] *ζημίαν ὑπολαμβανόντων τὰς ὑπὸ τῶν βελτίστων προτεινομένας χάριτας.*"

Lewy, p. 59, from Cat. Len. 124, f. 76v.

193. (Gen. xxvi. 18) Τὰ *ἐμφραγέντα φρέατα πάλιν ὤρυξεν.*[d]

Ὅτι φύσει φιλάνθρωπος ὁ ἀστεῖος καὶ εὐμενὴς καὶ συγγνώμων, οὐδενὶ μνησικακῶν τὸ παράπαν, ἀλλὰ νικᾶν τοὺς ἐχθροὺς ἀξιῶν ἐν τῷ ποιεῖν εὖ μᾶλλον ἢ βλάπτειν.

Harris, p. 41, from Cat. Lips. 1, col. 323, and Cat. Burney, f. 55 b.

Ἰσαὰκ *ὡς πᾶσιν ὢν εὐμενὴς καὶ πρὸς τῷ μὴ μνησικακεῖν, ἐν τῷ εὐεργετῆσαι σπουδάζων νικᾶν τὴν ἐκείνων κακίαν.*

Wendland, p. 85, from Procopius, Cod. Aug. f. 118r (Migne, p. 415).

[a] *ἐκείνων* Harris. [b] *εὖ* Cat. Burney : del. Wendland.
[c] *εὐγενῆ* Arm. [d] *ὀρύσσει ὁ* Ἰσαάκ Catt. Lips. et Burney.

194. (Gen. xxvi. 18)
Καὶ τὰ αὐτὰ ὀνόματα τίθεται, τιμῶν αὐτοῦ τὸν πατέρα καὶ μὴ συγχωρῶν εἰσάπαν τῷ φθόνῳ νικᾶν.
Wendland, p. 85, from Procopius, Cod. Aug. f. 118r (Migne, p. 415).

[195, see Appendix B.]

198. (Gen. xxvii. 3-4)
Δυοῖν ὄντων υἱῶν, τοῦ μὲν ἀγαθοῦ, τοῦ δὲ ὑπαιτίου, τὸν μὲν ὑπαίτιον εὐλογήσειν φησίν· οὐκ ἐπειδὴ τοῦ σπουδαίου προκρίνει τοῦτον ἀλλ' ὅτι ἐκεῖνον οἶδε δι' αὐτοῦ κατορθοῦν δυνάμενον, τοῦτον δὲ τοῖς ἰδίοις τρόποις ἁλισκόμενον, μηδεμίαν δὲ ἔχοντα σωτηρίας ἐλπίδα, εἰ μὴ τὰς εὐχὰς τοῦ πατρός· ὧν εἰ μὴ τύχοι, πάντων ἂν εἴη κακοδαιμονέστατος.
Harris, p. 43, from Cat. Ined. Reg. 1825 (Mangey ii. 676), and Cat. Lips. 1, col. 330, *Φίλωνος, ἴσως ἐπισκόπου*, and Cat. Burney, f. 56 b, *Φίλωνος ἑβραίου*. (Harris also gives two Latin fragments, one from Cat. Zephyri, p. 83, the other from Cat. Lippomani, f. 288 b).

Ὁ δὲ Ἰσαὰκ οὐ προτιμῶν τοῦ Ἰακὼβ τὸν Ἡσαῦ αὐτὸν ἠθέλησεν εὐλογεῖν. Πῶς γὰρ ὢν σπουδαῖος προτιμᾶν ἀνείχετο τὸν ὑπαίτιον; ἀλλ' εἰδὼς ὡς ἐκεῖνος μὲν ἐκ τῶν οἰκείων τρόπων ἔχει τὴν εὐμένειαν οὗτος δὲ μίαν ἔχει σωτηρίας ἐλπίδα τὰς εὐχὰς τοῦ πατρός.
Wendland, p. 86, from Procopius, Cod. Aug. f. 118v.

200. (Gen. xxvii. 8-10)
(*a*) *Ἐντεῦθέν ἐστι μαθεῖν τὸ τοῦ σώματος μέγεθος καὶ τὴν ἐκ κατασκευῆς φυσικὴν εὐεξίαν· ὁ γὰρ ἐν γήρᾳ δύο πίοσιν ἐρίφοις κεχρημένος προεψήμασι, τίς ἂν ὑπῆρχεν ἐν τῇ νεότητι; καὶ ταῦτα ὢν ἐγκρατὴς καὶ οὐκ ἄπληστος.*
Harris, p. 44, from Cat. Lips. 1, col. 331, *Προκοπίου*.

(*b*) *Οὐ διαμάχονται δὲ κατὰ τοὺς οὕτω νομίσαντας τῶν γονέων αἱ γνῶμαι, πρὸς ἓν δὲ τέλος ἐπείγονται, τῆς μὲν βουλομένης τὸν*

ἀγαθὸν τυχεῖν ὧν ἄξιος ἦν, τοῦ δὲ τοῦ σκαιοῦ, τὴν ἀπορίαν ἐπανορθώσασθαι τῷ ἐλέῳ τῷ εἰς αὐτόν.

Wendland, pp. 86-87, from Procopius, Cod. Aug. f. 118v = Cat. Lips. 331 Γ, Ἀδήλου (*cf.* Ambros. *De Jacob.* ii. 7).

202. (Gen. xxvii. 12-13)

Ἄξιον καὶ τὴν μητέρα τῆς εὐνοίας θαυμάσαι, τὰς κατάρας ὁμολογοῦσαν εἰσδέξασθαι[a] *τὰς ὑπὲρ ἐκείνου. Καὶ τὸν υἱὸν τῆς εἰς ἀμφοτέρους τοὺς γονεῖς*[b] *τιμῆς. Ἀνθέλκεται γὰρ ὑπὸ τῆς πρὸς ἑκάτερον εὐσεβείας· τὸν μὲν γὰρ πατέρα ἐδεδίει, μὴ δόξῃ φενακίζειν καὶ ὑφαρπάζειν ἑτέρου γέρας, τὴν δὲ μητέρα, μὴ καὶ ταύτης νομισθῇ παρακούειν λιπαρῶς ἐγκειμένης· ὅθεν ἄγαν εὐλαβῶς καὶ ὁσίως φησὶν οὐχ "ὁ πατήρ με καταράσεται" ἀλλ' "ἐγὼ τὰς κατάρας ἐπ' ἐμαυτὸν ἄξω."*[c]

Harris, p. 44, from Cat. Inedit. Reg. 1825, and Cat. Lips. 1, col. 331, and Cat. Burney, f. 56 b.

Θαυμαστὸς τῆς πρὸς ἄμφω τοὺς γονεῖς εὐσεβείας, τὸν μὲν ἵνα μὴ κινήσῃ, τῆς δὲ μὴ παρακούσῃ. Καλῶς δὲ τὸ "ἐπ' ἐμαυτὸν ἄξω." Κἂν γὰρ ἡσυχάζῃ φιλοστοργίᾳ τῇ πρὸς ἐμέ, τὸ συνειδὸς ἐπιμέμψεται ὡς ἄξια κατάρας ἐργασάμενον. Θαυμαστὴ δὲ καὶ τῆς εὐνοίας ἡ μήτηρ.

Wendland, p. 87, from Procopius 418 B.

204. (Gen. xxvii. 16)

Ὥσπερ τὰς ἄλλας ἀρετὰς ὁ ἀστεῖος, οὕτως καὶ τὴν ἀνδρείαν καθαρῶς ἐπιτετηδευκώς, ἐάν που ταύτην ἐπισκιάζῃ χάριν, καιρῶν οἰκονομίᾳ χρῆται, μένων μὲν ἐν ὁμοίῳ καὶ τῆς ἐξ ἀρχῆς προθέσεως οὐκ ἀναχωρῶν, διὰ δὲ τῶν ἀβουλήτων συντυχίας ἐναλλάττων ὥσπερ ἐν θεάτρῳ μορφὴν ἑτέραν ὑπὲρ ὠφελείας τῶν ὁρώντων· ἰατρὸς γὰρ τῶν κατὰ τὸν βίον πραγμάτων ὁ ἀστεῖος, ὃς ἕνεκα τῶν καιρῶν φρονίμως ἐνεργεῖ τὰ ἀφροσύνης, καὶ σωφρόνως τὰς ἀκολασίας καὶ τὰς δειλίας ἀνδρείως καὶ δικαίως τὰς ἀδικίας· καὶ γὰρ ἐρεῖ ποτε τὰ ψευδῆ οὐ ψευδόμενος καὶ ὑβρίσει μὴ ὢν ὑβριστής.

Harris, p. 45, from Mai, *Script. Vet.* vii. 106 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τοῦ δ' τῶν ἐν Γενέσει ζητημάτων.*

[a] Harris : *ἐκδέξασθαι* Cat. Reg.
[b] *τοὺς γονεῖς* add. Harris. [c] *ἕξω* Cat. Lips.

206. (Gen. xxvii. 18-19)
(*a*) *Πάλιν ἀπατεὼν εἶναι δόξει τοῖς μὴ τὴν κατ' ἀρετὴν σκοποῦσιν οἰκονομίαν. Ἡ δὲ οἰκονομία πρὸς τὸ μὴ τοῖς ἀναξίοις δίδοσθαι τὰ καλά. Λεγέτω καὶ κατάσκοπος συλληφθείς· οὐκ εἰμὶ πολέμιος ἢ ὡς ηὐτομόληκα.*
Wendland, pp. 87-88, from Procopius, Cod. Aug. f. 118ᵛ.

(*b*) *Λεγέτω καὶ ὁ στρατηγὸς ἢ τὰ πολεμοποιοῦντα εἰρήνην πραγματευόμενος ἢ τὰ εἰρήνης πολεμεῖν διανοούμενος· ὑποδυέσθω καὶ βασιλεὺς ἰδιώτου σχῆμα εἰ μὴ δύναιτο ἑτέρως τὸ συμφέρον τῇ τε ἀρχῇ καὶ τοῖς ὑπηκόοις λαβεῖν· καὶ ὁ δεσπότης δούλου, εἵνεκα τοῦ μηδὲν ἀγνοῆσαι τῶν κατὰ τὴν οἰκίαν δρωμένων.*
Harris, p. 45, from Mai, *Script. Vet.* vii. 106 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τοῦ δ' τῶν ἐν Γενέσει ζητημάτων.*

Λεγέτω καὶ στρατηγὸς τὰ πολεμοποιοῦντα εἰρήνην πραγματευόμενος ἢ τὰ εἰρηναῖα πολεμεῖν ἐγνωκώς. Οὐδὲν κωλύσει καὶ βασιλέα ἰδιώτου σχῆμα λαβεῖν τοῖς ὑπηκόοις τὸ συμφέρον θηρώμενον καὶ τὸν δεσπότην οἰκέτου μηδὲν ἀγνοεῖν ἐθέλοντα τῶν κατὰ τὸν οἶκον δρωμένων.
Wendland, p. 88, from Procopius, Cod. Aug. f. 118ᵛ.

207. (Gen. xxvii. 20)
Οὐ γὰρ ἔφθασε χρόνον προσήκοντα κυνηγέτῃ.
Wendland, p. 88, from Procopius, Cod. Aug. f. 119ʳ (Migne, p. 419).

208. (Gen. xxvii. 20)
Ὁ δὲ θεοφιλὴς ἐπὶ θεὸν τὴν αἰτίαν ἀνάγει διὰ τῆς ἀποκρίσεως.
Wendland, p. 88, from Procopius, Cod. Aug. f. 119ʳ (Migne, p. 419).

210. (Gen. xxvii. 22)
Τὴν εὐσεβῆ φωνὴν οὐκ ἂν λεχθεῖσαν ὑπὸ τοῦ Ἡσαῦ τὴν " ὃ παρέδωκεν ὁ θεὸς ἐναντίον μου " ἐπιγνοὺς Ἰσαὰκ εἶπε τὸ προκείμενον, ᾧ καὶ μαρτυρεῖν ἔοικεν ἡ γραφὴ φάσκουσα περὶ μόνων τῶν χειρῶν ὅτι " ἦσαν αἱ χεῖρες τοῦ Ἰακὼβ ὡς αἱ χεῖρες Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ δασεῖαι," οὐκέτι δὲ καὶ περὶ φωνῆς τὸ ὅμοιον· οὐ γὰρ ἐν ἰδιότητι προφορᾶς ἀλλ' ἐν τοῖς λεχθεῖσιν ἦν ἡ φωνή.
Wendland, pp. 88-89, from Procopius, Cod. Aug. f. 119ʳ (Migne, p. 419).

211. (Gen. xxvii. 23)
Τὰ αὐτὰ καθήκοντα[a] *πολλάκις ἐνεργοῦσιν ὅ τε ἀστεῖος καὶ ὁ φαῦλος, ἀλλ' οὐκ ἀπὸ τῆς αὐτῆς διανοίας ἀμφότεροι*[b]· *ὁ μὲν γὰρ κρίνων ὅτι καλόν, ὁ δὲ μοχθηρὸς*[c] *μνώμενός τι τῶν εἰς πλεονεξίαν.*

Harris, p. 70 (" unidentified," but located by E. Bréhier), from Mai, *Script. Vet.* vii. 100 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τῶν δ' ἐν Γεν. ζητημ.*, and from Cod. Rupef. f. 337 b.

227. (Gen. xxvii. 34)
Οὐκ ἐπὶ τῷ μὴ τυχεῖν[d] *τῶν εὐλογιῶν οὕτω δυσχεραίνει ὡς ἐπὶ τῷ τὸν ἀδελφὸν αὐτοῦ*[e] *ἀξιωθῆναι. Βάσκανος γὰρ ὢν ἐπιμελέστερον προκρίνει τῆς ἰδίας ὠφελείας τὴν ἐκείνου ζημίαν. Ταῦτα γὰρ ἐμφαίνεται διὰ τοῦ μέγα καὶ πικρὸν ἀνοιμῶξαι*[f] *καὶ ἐπιλέγειν· " Εὐλόγησον δὴ*[g] *καὶ ἐμέ, πάτερ."*

Harris, p. 46, from Cat. Ined. Regia, 1825 (Mangey ii. 676), and Cat. Lips. 1, col. 339, *Προκοπίου*, and Cat. Burney, f. 57 b, *Φίλωνος ἑβραίου*, also in Wendland, pp. 89-90, from Procopius 421 c.

228. (Gen. xxvii. 35)
Ἀλλ' εἴ γε μετὰ δόλου ἔλαβεν, εἴποι τις ἄν,[h] *οὐκ ἐπαινετός. Τί οὖν φησί· " Καὶ εὐλογημένος ἔσται*[i] *"; Ἀλλ' ἔοικεν αἰνίττεσθαι διὰ τοῦ λεχθέντος ὅτι οὐ πᾶς δόλος ὑπαίτιός ἐστιν, ἐπεὶ καὶ λῃστὰς νυκτοφύλακες, καὶ πολεμίους στρατηγοί, οὓς ἀδόλως συλλαβεῖν οὐκ ἔστιν, ἐνεδρεύοντες κατορθοῦν δοκοῦσι. Καὶ τὰ λεγόμενα στρατηγήματα τοιοῦτον λόγον ἔχει καὶ τὰ τῶν ἀθλητῶν ἀγωνίσματα· καὶ γὰρ ἐπὶ τούτων ἡ ἀπάτη νενόμισται*

Πῶς οὖν ἐπιφέρεις· " Καὶ εὐλογημένος ἔσται "; Αἰνίττεται τοίνυν ὡς οὐ πᾶς δόλος ὑπαίτιος. Τοιαῦτα γὰρ καὶ τὰ λεγόμενα στρατηγήματα, καὶ ἐπὶ τῶν ἀθλητῶν ὁμοίως οἱ μετὰ δόλου νικῶντες θαυμάζονται στεφανούμενοι· οἷς ἰσοδυναμεῖ τὸ " μετὰ δόλου " τῷ " μετὰ τέχνης." Οὐδὲν δὲ ἀτέχνως ὁ σπουδαῖος ποιεῖ.

Wendland, p. 90, from Procopius, Cod. Aug. f. 121v.

[a] *καθηκόντως* Cod. Rupef. [b] *ἀμφότεροι* om. Cod. Rupef.
[c] *μοχθηρῶς* Cod. Rupef.
[d] + *φασί* Procop. [e] *αὐτῶν* Procop.
[f] *ἐκβοῆσαι* Cat. Lips. : *βοῆσαι* Cat. Burney.
[g] *δὲ* Procop.
[h] *εἴποι τις ἄν*] *ἴσως εἴποι τις* Catt. Lips. et Burney.
[i] *ἔστω* Catt. Lips. et Burney.

τίμιον, καὶ οἱ δι' ἀπάτης περιγενόμενοι[a] *τῶν ἀντιπάλων, βραβείων ἀξιοῦνται καὶ στεφάνων. Ὥστε οὐ διαβολὴ τὸ " μετὰ δόλου " ἀλλ' ἐγκώμιον ἰσοδυναμοῦν τῷ " μετὰ τέχνης."* Οὐδὲν *γὰρ ἀτέχνως πράττει ὁ σπουδαῖος.*

Harris, p. 46, from Cat. Ined. Regia, 1825 (Mangey ii. 676), and Cat. Lips. 1, col. 340, 'Αδήλου, and Cat. Burney, f. 57 b.

[a] *περιγινόμενοι* Catt. Lips. et Burney.

UNIDENTIFIED FRAGMENTS FROM QUAESTIONES IN GENESIN[a]

1. Τῶν φαύλων πλούσιος οὐδεὶς καὶ ἂν τὰ πανταχοῦ μέταλλα κέκτηται· ἀλλ' εἰσὶ πάντες οἱ ἄφρονες πένητες.
Harris, p. 69, from Dam. Par. 362 and Cod. Reg. 923, f. 76, " in each case with reference to II Quaest. in Gen."

2. Μελέτη τροφὸς[b] ἐπιστήμης.
Harris, p. 69, from Dam. Par. 405, and Cod. Reg. 923, f. 105, and Mai, *Script. Vet.* vii. 99 *e* Cod. Vat. 1553, ἐκ τῶν ἐν Γενέσει ζητημάτων.

3. Ὥσπερ κίονες οἰκίας ὅλας ὑπερείδουσιν, οὕτω καὶ αἱ θεῖαι δυνάμεις τὸν σύμπαντα κόσμον καὶ τοῦ ἀνθρωπείου τὸ ἄριστον καὶ θεοφιλέστατον γένος.
Harris, p. 69, from Dam. Par. 749=Cod. Rupef. f. 29, ἐκ τοῦ α' τῶν ἐν Γενέσει ζητημάτων.

4. Ἐάν τις κατ' οἰκίαν ἢ κώμην ἢ πόλιν ἢ ἔθνος γένηται φρονήσεως ἐραστής, ἀνάγκη τὴν οἰκίαν καὶ τὴν πόλιν ἐκείνην ἀμείνονι βίῳ χρήσασθαι· ὁ γὰρ ἀστεῖος κοινὸν ἀγαθόν ἐστιν ἅπασιν, ἐξ ἑτοίμου τὴν ἀφ' ἑαυτοῦ προτείνων ὠφελείαν.
Harris, p. 69, from Dam. Par. 750=Cod. Rupef. f. 33 b, " from I Quaest. in Gen."

5. Ἀνθρώποις τὸ εὐμετάβλητον διὰ τὴν ἐν τοῖς ἐκτὸς ἀβε-

[a] Omitting the six fragments located by Früchtel and Bréhier, and printed above. The unidentified fragments, which are unnumbered in Harris, have been numbered by me.
[b] + ἐστιν Codd. Reg. et Vat.

αιότητα συμβαίνειν ἀνάγκη. Οὕτω γοῦν φίλους ἑλόμενοι πολλάκις καὶ βραχύν τινα αὐτοῖς διατρίψαντες χρόνον, οὐδὲν ἐγκαλεῖν ἔχοντες ἀπεστράφημεν ὡσεὶ ἐχθρῶν.
Harris, pp. 69-70, from Dam. Par. 776 (Cod. Rupef.), ἐκ τῶν ἐν Γενέσει ζητουμένων.

6. Τὸ ἐπαισθάνεσθαι τῶν ἐσφαλμένων καὶ ἑαυτοῦ καταμέμφεσθαι πρὸς δικαίου ἀνδρός· τὸ δὲ ἀνεπαισθήτως διακεῖσθαι—ἀργαλεώτερα ποιεῖ τῇ ψυχῇ τὰ δεινά—πρὸς κακοῦ ἀνδρός.
Harris, p. 70, from Dam. Par. 777 (Cod. Rupef.), ἐκ τῶν αὐτῶν (*sc.* τῶν ἐν Γενέσει ζητημάτων).

7. Ἐπειδὴ πρὸς πολλὰ τῶν κατὰ τὸν βίον τυφλὸς ὁ τῶν μὴ πεφιλοσοφηκότων νοῦς, χρηστέον[a] τοῖς βλέπουσι τὰς τῶν πραγμάτων ἰδέας πρὸς ὁδηγίαν.
Harris, p. 70, from Dam. Par. (Cod. Reg. 923, f. 315 b), "referred to Philo on Genesis," and John Monachus (Mangey ii. 667)=Cod. Rupef. f. 256 b, ἐκ τῶν ἐν Γεν. ζητ.

8. Ἐν θεῷ μόνον τὸ τέλειον καὶ ἀνενδεές, ἐν δὲ ἀνθρώπῳ[b] τὸ ἐπιδεὲς καὶ ἀτελές. Διδακτὸς γὰρ ὁ ἄνθρωπος, καὶ ἂν γὰρ σοφώτατος ἄλλος ἀπ' ἄλλου,[c] ἀλλ' οὐ ἀδιδάκτως οὐδὲ αὐτοφυῶς· καὶ εἰ ἐπιστημονικώτερος ἕτερος ἑτέρου, οὐκ ἐμφύτως ἀλλὰ μεμαθημένως.
Harris, p. 70, from Dam. Par.=Cod. Reg. 923, f. 335, "from Quaest. in Gen.," and John Monachus (Mangey ii. 667)=Cod. Rupef. f. 262 b.

9. Εἰώθασιν οἱ ἄνθρωποι ἐκ πλουσίων γενόμενοι πένητες ἐξαίφνης ἢ ἐξ ἐνδόξων καὶ μεγάλων ἄδοξοι καὶ ταπεινοὶ ἢ ἐξ ἀρχόντων ἰδιῶται ἢ ἐξ ἐλευθέρων δοῦλοι, ταῖς τύχαις συμμεταβάλλειν τὰ φρονήματα, φάσκοντες οὐ προνοεῖσθαι τῶν ἀνθρωπίνων πραγμάτων τὸ θεῖον, οὐ γὰρ ἂν χρήσασθαι μεγάλαις καὶ ἀπροσδοκήτοις μεταβολαῖς καὶ κακοπραγίαις· ἀγνοοῦντες πρῶτον μὲν ὅτι τούτων οὐδέν ἐστι κακὸν οὐδὲ γὰρ τἀναντία ἀγαθά, ὅτι μὴν τὸ

[a] χρητέον Cod. Reg.
[b] ἀνθρώποις Cod. Reg.
[c] σοφώτατος . . . ἄλλου] σοφώτερος ἄλλος ἀλλήλου Cod. Reg.

δοκεῖν οὐκ ἀλήθεια· δεύτερον δὲ ὅτι πολλάκις ταῦτα συμβαίνει διὰ νουθεσίαν, ἕνεκα τῶν ἀδιαφόρων ἐξυβριζόντων· οὐ γὰρ πάντες φέρειν τὰ ἀγαθὰ δύνανται· τρίτον δέ, ὡς ἔφην, πρὸς ἀπόπειραν ἠθῶν· ἀκριβεστάτη γὰρ βάσανος οἱ πρὸς ἑκάτερα καιροί.

Harris, p. 70, from Mai, *Script. Vet.* vii. 101 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τοῦ α′ τῶν ἐν Γεν. ζητημ.*

10. Τὸ *ἐπιορκεῖν ἀνόσιον καὶ ἀλυσιτελέστατον.*

Harris, p. 70, from Dam. Par. 784 (Cod. Rupef.), *ἐκ τῶν ἐν Γενέσει ζητημάτων*, " also Dam. Par. 751 (Cod. Rupef.), apparently referred to the Questions on Exodus."

11. Οἱ *ἑαυτῶν μόνον ἕνεκα πάντα πράττοντες φιλαυτίαν,*[a] *μέγιστον κακόν, ἐπιτηδεύουσιν, ὃ ποιεῖ τὸ ἄμικτον, τὸ ἀκοινώνητον, τὸ ἄφιλον,*[b] *τὸ ἄδικον, τὸ ἀσεβές.* Τὸν *γὰρ ἄνθρωπον ἡ φύσις κατεσκεύασεν οὐχ ὡς τὰ μονωτικὰ θηρία ἀλλ' ὡς ἀγελαῖα καὶ σύννομα, κοινωνικώτατον, ἵνα μὴ μόνῳ ἑαυτῷ ζῇ ἀλλὰ καὶ πατρὶ καὶ μητρὶ*[c] *καὶ ἀδελφοῖς καὶ γυναικὶ καὶ τέκνοις καὶ τοῖς ἄλλοις συγγενέσι καὶ φίλοις, καὶ δημόταις καὶ φυλέταις*[d] *καὶ πατρίδι καὶ ὁμοφύλοις καὶ πᾶσιν ἀνθρώποις, ἔτι μέντοι καὶ τοῖς μέρεσι τοῦ παντός, καὶ τῷ ὅλῳ κόσμῳ*[e] *καὶ πολὺ πρότερον τῷ πατρὶ καὶ ποιητῇ· δεῖ γὰρ εἶναι, εἴγε ὄντως ἐστὶ λογικός, κοινωνικόν, φιλόκοσμον, φιλόθεον ἵνα γένηται καὶ θεοφιλής.*[f]

Harris, p. 71, from John Monachus (Mangey ii. 662), and Mai, *Script. Vet.* vii. 108 *e* Cod. Vat. 1553, *ἐκ τοῦ β′ τῶν ἐν Γεν. ζητημάτων*, and Cod. Reg. 923, f. 20 b, *Φίλωνος.* " Maximus (ii. 686) gives the first sentence . . . Further in Dam. Par. 721 the whole passage is ascribed to the Abbot Isaiah."

12. Τ*ρεπτοὶ πολύτρεπτον διαπερῶντες βίον, καὶ συμφορὰς καθημέραν ἐνειλούμενοι, ἥκιστα τῆς εὐδαιμονίας ἠφῖχθαί*[g] *τινα πρὸ τέλους ὑπολαμβάνομεν.*

Harris, p. 71, from Mai, *Script. Vet.* vii. 102 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τῶν ἐν Γεν. ζητημ.*

[a] *φιλαυτίᾳ τὸ* Cod. Vat. : *φιλαυτίας* Maximus.
[b] *τὸ ἄφιλον* om. Cod. Vat. [c] *καὶ μητρὶ* om. Cod. Vat.
[d] *καὶ φίλοις . . . φυλέταις* om. Cod. Vat.
[e] *ἔτι . . . κόσμῳ* om. Cod. Vat.
[f] *δεῖ γὰρ . . . θεοφιλής* om. Cod. Vat.
[g] *ἀφῖχθαί* con. Harris.

13. *Συγκρύπτεται διὰ φιλίαν νόθου πράγματος καὶ ἀδόκιμον*[a] *τὸ γνήσιον καὶ δοκιμώτατον.*

Harris, p. 71, from Mai, *Script. Vet.* vii. 103, *Φίλωνος· ἐκ τοῦ δ′ τῶν ἐν Γεν. ζητημ.*

14. Τοὺς *ἄρξαντας εἴτε τῶν ἀγαθῶν εἴτε καὶ πονηρῶν βουλευμάτων, καὶ μάλιστα ὅταν ἐφαρμόσῃ τοῖς βουλεύμασι τὰ ἔργα, ἴσους ἡγητέον τοῖς καὶ τελειώσασιν αὐτά· τὸ μὲν γὰρ μὴ φθάσαι πρὸς τὸ πέρας ἐλθεῖν, ἕτερα καὶ πολλὰ αἴτια· ἡ δὲ γνώμη καὶ σπουδὴ τῶν προελομένων ἔφθακεν δυνάμει καὶ πρὸς τὸ πέρας.*

Harris, p. 71, from Mai, *Script. Vet.* vii. 105 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τοῦ β′ τῶν ἐν Γεν. ζητημ.*

15. Ὁ *εὐλαβέστερος τρόπος οὐχ οὕτως ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς γέγηθεν ὡς ἐπὶ τοῖς τοῦ πέλας κακοῖς ἀνιᾶται ἢ φοβεῖται· ἀνιᾶται μὲν ὅτ' ἀνάξιος ὢν ἀτυχῇ, φοβεῖται δὲ ὅτ' ἂν ἐπιτηδέως κακοπαθῇ.*

Harris, p. 71, from Mai, *Script. Vet.* vii. 107, *Φίλωνος· ἐκ τοῦ δ′ τῶν ἐν Γεν. ζητημ.*

16. Τί *οὖν ἐνεθυμήθη; ὅτι διὰ τὸ εὐαρεστεῖν πεποίηται ὁ ἄνθρωπος, οὐ κατ' ἀντιστροφήν, διότι ἐποίησεν, ἀλλ' ὡς μὴ ἐμμεῖναν τὸ ποίημα τῇ εἰς εὐαρέστησιν ποιήσει.* Πρὸς *οὖν τὸ ποίημα ὁ λόγος, ὥσπερ σοφιστὴς διαλογεῖται, οὐ διότι πεφύτευκεν ὁ θεὸς ἀλλ' ὅτι προελθὸν διὰ ῥαθυμίαν διαμαρτάνει τῆς ἐγχειρήσεως.*

Harris, p. 71, from Pitra, *Anal. Sacr.* ii. 307 = Cod. Coislin. 276, f. 221, *ἐκ τῶν εἰς Γεν. ζητημ.*

17. Τὰ *γὰρ τοῦ πολέμου ἀριστεῖα δίδωσι τῷ ἱερεῖ καὶ τὰς τῆς νίκης ἀπαρχάς.* Ἱεροπρεπεστάτη *δὲ καὶ ἁγιωτάτη πασῶν ἀπαρχῶν ἡ δεκάτη διὰ τὸ παντέλειον εἶναι τὸν ἀριθμόν, ἀφ' οὗ καὶ τοῖς ἱερεῦσι καὶ νεωκόροις αἱ δεκάται προστάξει νόμου καρπῶν καὶ θρεμμάτων ἀποδίδονται, ἄρξαντος τῆς ἀπαρχῆς* Ἀβραάμ, *ὃς καὶ τοῦ γένους ἀρχηγέτης ἐστίν.*

Harris, pp. 71-72, from Cramer, *Catena in Heb.* p. 580, *e* Cod. Paris 238, " . . . seems to belong to the Questions on Genesis xiv. 18, being found in a codex which quotes the Questions on Gen. iv. 4 and seems to have no other Philonea. This part of the Questions is lost in the Armenian."

[a] l. *ἀδοκίμου* (?).

EXODUS, BOOK I

1. (Ex. xii. 2)

Ὅταν οἱ τῶν σπαρτῶν καρποὶ τελειωθῶσιν, οἱ τῶν δένδρων γενέσεως ἀρχὴν λαμβάνουσιν ἵνα δολιχεύωσιν αἱ τοῦ θεοῦ χάριτες τὸν αἰῶνα, παρ' ἄλλων ἄλλαι διαδεχόμεναι καὶ συνάπτουσαι τέλη μὲν ἀρχαῖς, ἀρχὰς δὲ τέλεσιν, ἀτελεύτητοι ὦσιν.

Harris, p. 47, from Dam. Par. 789 = Cod. Rupef. f. 142 b, *ἐκ τοῦ α' τῶν ἐν Ἐξόδῳ.*

6. (Ex. xii. 4b)

Ὑπερβολαὶ καὶ ἐλλείψεις ἀνισότητα ἐγέννησαν. Ἀνισότης δέ, ἵνα αὐτὸς μυθικώτερον χρήσωμαι[a] *τοῖς ὀνόμασιν, μητὴρ ἀδικίας ἐστίν, ὡς ἔμπαλιν ἰσότης δικαιοσύνης· ὑπερβολῆς δὲ καὶ ἐλλείψεως μέσον τὸ αὔταρκες· ἐν ᾧ τὸ ἱερὸν γράμμα περιέχεται τὸ "μηδὲν ἄγαν."*

Harris, p. 47, from Mai, *Script. Vet.* vii. 106 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τοῦ α' τῶν ἐν Ἐξόδῳ ζητημάτων.*

7. (Ex. xii. 5a)

(*a*) *Λέγεται ὑπὸ φυσικῶν ἀνδρῶν, οὐδὲν ἕτερον εἶναι θῆλυ ἢ ἀτελὲς ἄρσεν.*

Harris, p. 47, from Dam. Par. 777 = Cod. Rupef. f. 134, *ἐκ τῶν ἐν Ἐξόδῳ ζητημάτων*, and Anton Melissa, Migne, col. 1088.

(*b*) *Ἔνιοι προκόψαντες ἐπ' ἀρετὴν ὑπενόστησαν πρὶν ἐφικέσθαι τοῦ τέλους, τὴν ἄρτι φυομένην ἀριστοκράτειαν ἐν ψυχῇ καθελούσης τῆς παλαιᾶς ὀλιγοκρατείας,*[b] *ἢ πρὸς ὀλίγον ἠρεμήσασα πάλιν ἐξ ὑπαρχῆς μετὰ πλείονος δυνάμεως ἀντεπέθετο.*[c]

Harris, pp. 47-48, from Dam. Par. 343, and Cod. Reg. 913,

[a] edd. : *χρήσομαι* Cod. Vat.
[b] *παλαιᾶς ὀλιγοκρατείας*] *ὀχλοκρατίας* Anton Melissa.
[c] *ἐναπέθετο* Dam.

f. 84, ἐκ τοῦ α′ τῶν ἐν Ἐξαγ^ω [*sc.* Ἐξαγωγῇ = Ἐξόδῳ] ζητημάτων, and Anton Melissa (Migne, col. 1117).

19. (Ex. xii. 11)

Αἱ μὲν γὰρ ζῶναι στάσιν ἐμφαίνουσι καὶ συναγωγὴν ἡδονῶν καὶ τῶν ἄλλων παθῶν ἃ τέως ἀνεῖτο καὶ κεχάλαστο· οὐκ ἀπὸ δὲ σκοποῦ προσέθηκε τὸ δεῖν ζώννυσθαι κατὰ τὴν ὀσφύν· ὁ γὰρ τόπος ἐκεῖνος εἰς φάτνην ἀποκέκριται πολυκεφάλῳ θρέμματι τῶν ἐν ἡμῖν ἐπιθυμιῶν.

Harris, p. 48, from Pitra, *Anal. Sacr.* ii. 313 *e* Cod. Vat. 1611, f. 181.

21. (Ex. xii. 17)

Ἄνδρες ἀγαθοί, τροπικώτερον εἰπεῖν, κίονές[a] *εἰσι δήμων ὅλων, ὑπερείδοντες, καθάπερ οἰκίας μεγάλας, τὰς πόλεις καὶ τὰς πολιτείας.*

Harris, p. 48, from John Monachus (Mangey ii. 661) = Cod. Rupef. f. 33 b, ἐκ τοῦ Περὶ μέθης, and Cod. Rupef. f. 200 b, and Anton Melissa (Migne, col. 1105).

[a] κρείττονές Cod. Rupef.

EXODUS, BOOK II

1. (Ex. xx. 25b) Τί ἐστι· "τὸ γὰρ ἐγχειρίδιόν σου" καὶ τὰ ἑξῆς;

Οἱ τὴν φύσιν παρεγχειρεῖν τολμῶντες καὶ τὰ ἔργα τῆς φύσεως ἐγχειρήμασιν ἰδίοις μεταμορφοῦντες τὰ ἀμίαντα μιαίνουσι. Τέλεια γὰρ καὶ πλήρη τὰ τῆς φύσεως, προσθήκης οὐδεμιᾶς δεόμενα.

Harris, p. 49, from Cat. Ined. Regia, 1825 (Mangey ii. 677), and Cat. Lips. 1, col. 785, *Φίλωνος ἑβραίου.*

2. (Ex. xxii. 21 [Heb. 20])

Ἐμφανέστατα παρίστησιν ὅτι προσήλυτός ἐστιν, οὐχ ὁ περιτμηθεὶς τὴν ἀκροβυστίαν ἀλλ' ὁ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας καὶ τὰ ἄλλα πάθη τῆς ψυχῆς. Ἐν Αἰγύπτῳ γὰρ τὸ Ἑβραῖον γένος οὐ περιτέτμητο, κακωθὲν δὲ πάσαις κακώσεσι τῆς παρὰ τῶν ἐγχωρίων περὶ τοὺς ξένους ὠμότητος, ἐγκρατείᾳ καὶ καρτερίᾳ συνεβίου οὐκ ἀνάγκῃ μᾶλλον ἢ ἐθελουσίῳ γνώμῃ διὰ τὴν ἐπὶ τὸν σωτῆρα θεὸν καταφυγήν, ὃς ἐξ ἀπόρων καὶ ἀμηχάνων ἐπιπέμψας τὴν εὐεργέτιν δύναμιν ἐρρύσατο τοὺς ἱκέτας.[a] Διὰ τοῦτο προστίθησιν· "Ὑμεῖς γὰρ οἴδατε τὴν ψυχὴν τοῦ προσηλύτου." Τίς δὲ προσηλύτου διάνοιά ἐστιν; Ἀλλοτρίωσις τῆς πολυθέου δόξης, οἰκείωσις δὲ τῆς πρὸς τὸν ἕνα καὶ πατέρα τῶν ὅλων τιμῆς. Δεύτερον ἐπήλυδας ἔνιοι καλοῦσι τοὺς ξένους. Ξένοι δὲ καὶ οἱ πρὸς τὴν ἀλήθειαν αὐτομοληκότες, τὸν αὐτὸν τρόπον τοῖς ἐν Αἰγύπτῳ ξενιτεύσασιν. Οὗτοι μὲν γὰρ ἐπήλυδες χώρας, ἐκεῖνοι δὲ νομίμων καὶ ἐθῶν εἰσι,[b] τὸ δὲ ὄνομα κοινὸν ἑκατέρων "ἐπηλύδων" ὑπογράφεται.

Harris, pp. 49-50, from Cat. Reg. 1825 (Mangey ii. 677), and Cat. Lips. 1, col. 810, *Φίλωνος ἑβραίου*, and Cat. Burney, f. 13 b. The variant reading is in Wendland, p. 95, from Procopius, Cod. Aug. f. 217ᵛ (Migne, p. 622).

[a] *οἰκέτας* Cat. Lips.

[b] *οὗτοι μὲν . . . εἰσι*] *οὐ τὸν αὐτὸν τρόπον, αὐτοὶ μὲν γὰρ χώρας, οἱ δὲ πρὸς αὐτοὺς ἰόντες νόμων καὶ πολιτείας* Procopius.

3. (Ex. xxii. 22 [Heb. 21])

(*a*) Οὐδένα μέν, οὐδὲ[a] τῶν ἄλλων, οὔτε ἄρρενα οὔτε θήλειαν, ἀφίησιν ἀδικεῖν ὁ νόμος.[b] Ἐξαιρέτου δὲ προνοίας μεταδίδωσιν χήραις καὶ ὀρφανοῖς,[c] ἐπειδὴ τοὺς ἀναγκαίους βοηθοὺς καὶ κηδεμόνας ἀφῄρηνται, χῆραι μὲν ἄνδρας, ὀρφανοὶ δὲ γονεῖς.[d] Βούλεται γὰρ τῇ φυσικῇ κοινωνίᾳ χρωμένους τὰς ἐνδείας ὑπὸ τῶν ἐν περιουσίᾳ ἀναπληροῦσθαι.[e]

Harris, p. 50, from Mai, *Script. Vet.* vii. 104 *e* Cod. Vat. 1553, Φίλωνος· ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητημάτων, and Cod. Reg. 923, f. 32 b, and Cod. Rupef. f. 220 b, and Cat. Ined. Reg. 1825 (Mangey ii. 678), and Cat. Lips. 1, col. 805, and Cat. Burney, f. 136. The variant to the first part of the second sentence is in Wendland, p. 95, from Procopius, Cod. Aug. f. 217ᵛ (Migne, p. 622).

(*b*) Ψυχαὶ δέ, ὅταν προσκολληθῶσι θεῷ, ἐκ γυναικῶν γίνονται παρθένοι, τὰς μὲν γυναικώδεις ἀποβάλλουσαι φθορὰς τῶν ἐν αἰσθήσει καὶ πάθει· τὴν δὲ ἄψευστον[f] καὶ ἀμιγῆ παρθένον, ἀρέσκειαν θεοῦ, μεταδιώκουσι· κατὰ λόγον οὖν αἱ τοιαῦται ψυχαὶ χηρεύουσιν, ἄνδρα τὸν τῆς φύσεως ὀρθὸν νόμον προσσυμβιοῦσιν καὶ πατέρα τὸν αὐτόν, ἃ χρὴ πράττειν παραγγέλλοντα καθάπερ ἐγγόνοις μετὰ τῆς ἀνωτάτω κηδεμονίας.

Harris, p. 51, from Pitra, *Anal. Sacr.* ii. 308 *e* Cod. Coislin. 276, f. 183.

4. (Ex. xxii. 23 [Heb. 22])

Καὶ κακοῦν ἀπαγορεύει οὐ τοσοῦτον τὴν σωματικὴν κάκωσιν ὅσον τὴν ψυχικήν. Ὀρφανοῖς γὰρ γινέσθω μηδεὶς ἀφροσύνης ἢ ἀκολασίας διδάσκαλος, ἀλλὰ τῶν ἐναντίων, ἐν ὅσῳ τὰς ψυχὰς ἔχουσιν ἁπαλὰς πρὸς τὴν τῶν θείων χαρακτήρων ὑποδοχήν.

Wendland, p. 95, from Procopius, Cod. Aug. f. 217ᵛ (Migne, p. 622).

6. (Ex. xxii. 28b [Heb. 27b])

(*a*) Προνοεῖται τῶν ἰδιωτῶν ὡς μὴ περιπίπτοιεν ἀνηκέστοις

[a] οὐδένα . . . οὐδὲ] οὐ δυναμένου δὲ Cod. Vat.

[b] οὐδένα . . . νόμος om. Codd. Reg., Rupef., et Catt. Ined. Reg., Lips., Burney.

[c] ἐξαιρέτου . . . ὀρφανοῖς] ἐξαιρέτου δὲ προνοίας διὰ τὴν ἐρημίαν μεταδίδωσιν ὀρφανοῖς τε καὶ χήραις Procopius.

[d] ἐπειδὴ . . . γονεῖς om. Catt. Lips., Burney.

[e] βούλεται . . . ἀναπληροῦσθαι om. Cod. Vat.

[f] ex Arm. Pitra : ἄψαυστον Cod. Coislin.

τιμωρίαις· οἱ γὰρ κακῶς ἀκούσαντες ἄρχοντες τοὺς εἰπόντας[a] *οὐ μετὰ δίκης ἀμυνοῦνται· καταχρήσονται δυναστείαις εἰς πανωλεθρίαν. Ἐπεί, φησίν, οὐ περὶ παντὸς ἄρχοντος ἔοικε νομοθετεῖν ἀλλ' ὡσανεὶ τοῦ λαοῦ τοῦδε ἢ ἔθνους ἡγεμόνα σπουδαῖον ὑποτίθεται,*[b] *διὰ πλειόνων, καταχρηστικῶς δὲ δυνατοὺς ἢ ἱερεῖς ἢ προφήτας ἢ ἁγίους ἄνδρας ὡς Μωϋσέα. " Ἰδοὺ γάρ, ἔθηκά σε θεὸν Φαραώ," ἐλέχθη πρὸς Μωϋσῆν.*

Harris, p. 51, from Cat. Lips. 1, col. 805, *Φίλωνος ἑβραίου*, and Cat. Burney, f. 136.

(*b*) *Τῷ ἀγαθῷ ἀνδρὶ βλασφημία μὲν ἀλλότριον, ἔπαινος δὲ οἰκειότατον· οὐδὲν γὰρ οὕτως εὐάγωγον εἰς εὔνοιαν ὡς εὐφημία.*

Lewy, pp. 59-60, from Dam. Par. = Cod. Const. Metoch. 274, *Φίλωνος*.

Οὐδὲν οὕτως εὐάγωγον εἰς εὔνοιαν ὡς ἡ τῶν εὐεργετημάτων εὐφημία.

Harris, p. 51, from Anton Melissa (Migne, col. 1149).

9. (Ex. xxiii. 1a)

Μάταιόν φησιν οὔτε ἀκοαῖς οὔτε ἄλλῃ τινὶ τῶν αἰσθήσεων προσιτέον· ἐπακολουθοῦσι γὰρ ταῖς ἀπάταις αἱ μέγισται ζημίαι. Διὸ καὶ παρ' ἐνίοις νομοθέταις ἀπείρηται μαρτυρεῖν ἀκοῇ,[c] *ὡς τὸ μὲν ἀληθὲς ὄψει πιστευόμενον,*[d] *τὸ δὲ ψεῦδος*[e] *ἀκοῇ.*

Harris, pp. 51-52, from Cat. Reg. Ined. 1825, and Cat. Lips. 1, col. 807, and Cat. Burney, f. 136 b. The second sentence is in Wendland, pp. 95-96, from Procopius, Cod. Aug. f. 218r (Migne, p. 623).

10. (Ex. xxiii. 3)

Πενία καθ' ἑαυτὴν μὲν ἐλέου χρῄζει εἰς ἐπανόρθωσιν ἐνδείας, εἰς δὲ κρίσιν ἰοῦσα βραβευτῇ χρῆται τῷ τῆς ἰσότητος νόμῳ. Θεῖον γὰρ ἡ δικαιοσύνη καὶ ἀδέκαστον· ὅθεν καὶ ἐν ἑτέροις εὖ εἴρηται ὅτι[f] *" ἡ κρίσις τοῦ θεοῦ δικαία*[g] *ἐστίν."*

Harris, p. 52, from Cat. Reg. Ined. 1825, and Cat. Lips. 1,

[a] *ἀπόντας* Cat. Burney. [b] *ὑπερτίθεται* Cat. Burney.

[c] *διὸ . . . ἀκοῇ*] *διὸ παρ' ἐνίοις ἀπείρηται νομοθέταις ἀκοὴν μαρτυρεῖν* Procopius.

[d] *πιστούμενον* Procopius. [e] *ψευδὲς* Procopius.

[f] *ὅθεν . . . ὅτι*] *διὸ καὶ εἴρηται* Procopius.

[g] *δικαία* om. Procopius, cf. Wendland ad loc., " fehlt in fast allen MSS. der Cat. Lips."

col. 807, and Cat. Burney, f. 136 b. The second sentence is in Wendland, p. 96, from Procopius, Cod. Aug. f. 218r (Migne, p. 623).

11. (Ex. xxiii. 4)

Ἡμερότητος ὑπερβολὴ πρὸς τὸ μὴ βλάπτειν τὸν ἐχθρὸν ἔτι καὶ συνωφελεῖν πειρᾶσθαι· δεύτερον δὲ παραίτησις πλεονεξίας[a]· ὁ γὰρ μηδ' ἐχθρὸν ζημιοῦν ὑπομένων τίνα τῶν ἄλλων ἐθελήσειεν ἂν βλάπτειν ἐπ' ὠφελείᾳ ἰδίᾳ;

Lewy, p. 60, from Dam. Par. = Cod. Const. Metoch. 274, Φίλωνος.

Ἡμερότητος ὑπερβολὴ πρὸς τῷ μὴ βλάπτειν τὸν ἐχθρὸν ἔτι καὶ ὠφελεῖν πειρᾶσθαι. Τίνα δὲ καὶ ἀδικήσειεν <ἂν> ὁ μηδὲ τὸν ἐχθρὸν ζημιῶν; Ἔτι δὲ καὶ στάσιν καθαιρεῖ καὶ δυσμένειαν προκατάρχων εἰρήνης. Φιλικὸν γὰρ τὸ ἔργον καὶ πρὸς ἀμοιβὴν ἐφέλκει τὸν μὴ λίαν ἀγνώμονα. Διδαχθεὶς δέ τις μηδὲ βοσκημάτων ὑπερορᾶν πρὸς τίνα τῶν ἀνθρώπων οὐκ ἂν εἴη φιλάνθρωπος;

Wendland, p. 96, from Procopius, Cod. Aug. f. 218r (Migne, p. 623).

13. (Ex. xxiii. 20-21)

(*a*) Οἱ ἀφυλάκτως ὁδοιποροῦντες διαμαρτάνουσιν τῆς ὀρθῆς καὶ λεωφόρου ὡς πολλάκις εἰς ἀνοδίας καὶ δυσβάτους καὶ τραχείας ἀτραποὺς ἐκτρέπεσθαι. Τὸ παραπλήσιόν ἐστι ὅτε καὶ αἱ ψυχαὶ τῶν νέων[b] παιδείας ἀμοιροῦσιν,[c] καθάπερ ῥεῦμα ἀνεπίσχετον[d] ὅπη μὴ λυσιτελὲς ῥεμβεύονται.

Harris, p. 52, from Cod. Reg. 923, f. 302 b, "from the Quaest. in Exod."

(*b*) Ὁ πεινῶν καὶ διψῶν ἐπιστήμης καὶ τοῦ μαθεῖν ἃ μὴ οἶδεν, τὰς ἄλλας μεθιέμενος φροντίδας, ἐπείγεται πρὸς ἀκρόασιν, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν θυρωρεῖ τὰς τῶν σοφῶν οἰκίας.

Harris, p. 52, from Dam. Par. 613 = Cod. Reg. f. 230.

[a] δεύτερον . . . πλεονεξίας ex Arm. con. Lewy.
[b] νεῶν Harris.
[c] Harris : ἀμοιρῶσιν Cod. Reg.
[d] Harris : ἀνεπίσχετο Cod. Reg.

14. (Ex. xxiii. 18a)

Ἀντὶ τοῦ οὐ δεῖ ζυμωτὸν παρεῖναι ἐπὶ τῶν θυσιαζομένων ἀλλὰ πάντα τὰ προσαγόμενα εἰς θυσίαν ἤτοι προσφορὰν ἄζυμα δεῖ εἶναι, αἰνίττεται διὰ συμβόλου δύο τὰ ἀναγκαιότατα· ἓν μὲν τὸ καταφρονεῖν ἡδονῆς, ζύμη γὰρ ἥδυσμα τροφῆς, οὐ τροφή· ἕτερον δὲ τὸ μὴ δεῖν ἐπαίρεσθαι φυσωμένους διὰ κενῆς[a] οἰήσεως. Ἀνίερον γὰρ ἑκάτερον, ἡδονή τε καὶ οἴησις, μητρὸς μιᾶς ἀπάτης ἔγγονα. Τὸ αἷμα τῶν θυσιῶν δεῖγμα ψυχῆς ἐστι σπενδομένης θεῷ, μιγνύναι δὲ τὰ ἄμικτα οὐχ ὅσιον.

Harris, p. 53, from Cat. Reg. Ined. 1825 (Mangey ii. 678), and Cat. Lips. 1, col. 816, and Cat. Burney, f. 138.

Αἰνίττεται δὲ διὰ συμβόλου καταφρονεῖν ἡδονῆς—ζύμη γὰρ ἥδυσμα τροφῆς, οὐ τροφή—, καὶ τὸ μὴ δεῖν ὑπὸ κενῆς φυσωμένους οἰήσεως αἵρεσθαι. Τὸ δὲ αἷμα τῶν θυσιῶν δεῖγμα ψυχῆς ἐστι σπενδομένης θεῷ. Μιγνύναι δὲ τὰ ἄμικτα οὐχ ὅσιον.

Wendland, pp. 96-97, from Procopius, Cod. Aug. f. 220[r] (Migne, p. 627).

15. (Ex. xxiii. 18b)

(*a*) Κελεύει τὰ στέατα αὐθήμερον ἀναλίσκεσθαι γινόμενα ὕλην ἱερᾶς φλογός.

Harris, p. 53, from Cat. Burney, f. 138, and Cat. Lips. 1, col. 816, Ἀδήλου.

Ὕλη δὲ τῆς ἱερᾶς γινέσθω φλογός.

Wendland, p. 97, from Procopius, Cod. Aug. f. 220[r] (Migne, p. 627).

(*b*) Ψυχὴ πᾶσα ἣν εὐσέβεια λιπαίνει τοῖς ἰδίοις ὀργίοις, ἀκοιμήτως ἔχει πρὸς τὰ θεῖα καὶ διανίσταται πρὸς τὴν θέαν τῶν θέας ἀξίων. Τοῦτο γὰρ τὸ πάθος τῆς ψυχῆς ἐν ἑορτῇ μεγίστῃ καὶ καιρὸς ἀψευδὴς εὐφροσύνης.

Harris, p. 101 ("unidentified," but located by Früchtel), from Cod. Rupef. f. 153 b.

16. (Ex. xxiii. 22)

Φωνὴν θεοῦ τὸν πρὸ μικροῦ λεχθέντα ἄγγελον ὑπονοητέον

Τὸν προφήτην φασί τινες καὶ τὴν ἐν αὐτῷ τοῦ λαλοῦντος

[a] καινῆς Cat. Lips.

μηνύεσθαι. Τοῦ γὰρ λέγοντος ὁ προφήτης ἄγγελος κυρίου ἐστιν. Ἀνάγκῃ[a] γὰρ τὸν ἀκοῇ ἀκούοντα, τουτέστι τὸν τὰ λεγόμενα βεβαίως παραδεχόμενον, ἔργοις ἐπιτελεῖν τὰ λεχθέντα. Λόγου γὰρ πίστις ἔργον· ὁ δὲ καὶ τοῖς εἰρημένοις καταπειθὴς καὶ ἐνεργῶν τὰ ἀκόλουθα, σύμμαχον καὶ ὑπερασπιστὴν ἐξ ἀνάγκης ἔχει τὸν διδάσκαλον, ὅσα μὲν τῷ δοκεῖν, βοηθοῦντα τῷ γνωρίμῳ, τὸ δὲ ἀληθὲς τοῖς αὐτοῦ δόγμασι καὶ παραγγέλμασιν, ἅπερ οἱ ἐναντίοι καὶ ἐχθροὶ βούλονται καθαιρεῖν.

Harris, p. 54, from Cat. Reg. Ined. 1825 (Mangey ii. 678), and Cat. Lips. 1, col. 818, and Cat. Burney, f. 139, " glossed by a Christian commentator."

φωνήν, οὗ παρακελεύεται εἰσακούειν. Λόγου δὲ πίστις ἔργον. Ὁ δὲ καὶ πεισθεὶς καὶ πράξας ἕξει πάντως ὑπερασπιστὴν τὸν διδάσκαλον συμμαχοῦντα δι' αὐτοῦ τοῖς δόγμασιν, ἅπερ οἱ ἐναντίοι βούλονται καθαιρεῖν.

Wendland, p. 97, from Procopius, Cod. Aug. f. 221r (Migne, p. 630).

17. (Ex. xxiii. 24c)

Στῆλαί εἰσι τὰ δόγματα συμβολικῶς, ἅπερ ἑστάναι καὶ ἐρηρεῖσθαι δοκεῖ. Τῶν δὲ κατεστηλιτευμένων δογμάτων ἀστεῖά ἐστιν, ἃ καὶ θέμις ἀνακεῖσθαι καὶ βεβαίαν ἔχειν τὴν ἵδρυσιν· τὰ δὲ ἐπίληπτα, ὧν τὴν καθαίρεσιν ποιεῖσθαι λυσιτελές. Τὸ δὲ " καθαιρῶν καθελεῖς " καὶ " συντρίβων συντρίψεις " τοιοῦτον ὑποβάλλει νοῦν. Ἔνιά τινες καθαιροῦσιν ὡς ἀναστήσοντες, καὶ συντρίβουσιν ὡς αὖθις ἁρμοσόμενοι· βούλεται δὲ τὰ καθαιρεθέντα

Τὰ δόγματα συμβολικῶς, ἅπερ ἑστάναι καὶ ἐρηρεῖσθαι δοκεῖ. Τῶν δὲ κατεστηλιτευμένων[b] δογμάτων τὰ μὲν ἀστεῖα θέμις ἀνακεῖσθαι καὶ βεβαίαν ἔχειν τὴν ἵδρυσιν, τὰ δὲ ἐπίληπτα καθαιρεῖσθαι ὡς μὴ πάλιν ἀναστησόμενα μηδὲ ἁρμοσόμενα. Τοιαύτη γὰρ ἔμφασις ἡ τοῦ "καθαιρῶν καθελεῖς" καὶ "συντρίβων συντρίψεις."

Wendland, pp. 97-98, from Procopius, Cod. Aug. f. 221r (Migne, p. 630).

[a] l. ἀνάγκη.
[b] Wendland : κατεστηλευμένων Cod. Aug.

ἅπαξ καὶ συντριβέντα μηκέτι τυχεῖν ἀνορθώσεως ἀλλ' εἰς ἅπαν ἠφανίσθαι τὰ ἐναντία τοῖς ἀγαθοῖς καὶ καλοῖς.

Harris, pp. 54-55, from Cat. Reg. Ined. 1825 (Mangey ii. 678), and Cat. Lips. 1, col. 820, and Cat. Burney, f. 139.

18. (Ex. xxiii. 25b)

Τροφὴν καὶ ὑγίειαν αἰνίττεται· τροφὴν μὲν δι' ἄρτου καὶ ὕδατος· ὑγίειαν διὰ τοῦ μαλακίαν ἀποστρέφειν. Δεύτερον, ἐγκράτειαν εἰσηγεῖται, τὴν τῶν ἀναγκαίων μετουσίαν, μόνον ἐπειπών· . . . πρὸς δὲ τούτοις, μάθημα ἡμᾶς αἰσιώτατον ἀναδιδάσκει, δηλῶν ὅτι οὔτε ἄρτος οὔτε ὕδωρ καθ' ἑαυτὰ τρέφουσιν· ἀλλ' ἔστιν ὅτε καὶ βλάπτουσι μᾶλλον ἢ ὠφελοῦσιν, ἐὰν μὴ θεῖος λόγος καὶ τούτοις χαρίσηται τὰς ὠφελητικὰς[a] δυνάμεις· ἧς χάριν αἰτίας φησὶν "εὐλογήσω τὸν ἄρτον σου καὶ τὸ ὕδωρ," ὡς οὐχ ἱκανὰ καθ' ἑαυτὰ τρέφειν ἄνευ θείας[b] καὶ ἐπιφροσύνης.

Harris, p. 55, from Cat. Lips. 1, col. 820, Ἀδήλου.

Τροφὴν καὶ ὑγίειαν ἐπαγγέλλεται, καὶ τῶν ἀναγκαιοτάτων μόνων μνησθεὶς ἐδίδαξε τὴν ἐγκράτειαν. Καὶ μάθημα δὲ παρέδωκεν αἰσιώτατον, ὡς οὐδὲν τούτων τρέφει καθ' ἑαυτό, βλάπτει δὲ μᾶλλον ἢ ὠφελεῖ, μὴ τοῦ θεοῦ δύναμιν ὠφελητικὴν διὰ τῆς εὐλογίας παρέχοντος.

Wendland, p. 98, from Procopius, Cod. Aug. f. 221r (Migne, p. 630).

19. (Ex. xxiii. 26a)

Ἀγονίαν[c] καὶ στείρωσιν ἐν κατάραις τάττων Μωϋσῆς οὔ φησιν ἔσεσθαι παρὰ τοῖς τὰ δίκαια καὶ νόμιμα δρῶσιν· ἆθλον γὰρ τοῖς τὸ ἱερὸν γράμμα τοῦ νόμου φυλάττουσι παρέχει τὸν ἀρχαιότερον

[a] Wendland : ἀφελητικὰς Cat. Lips.
[b] post θείας lacunam esse stat. Harris.
[c] Harris : ἀγωνίαν Cod. Vat.

νόμον τῆς ἀθανάτου φύσεως, ὃς ἐπὶ σπορᾷ καὶ γενέσει τέκνων ἐτέθη πρὸς τὴν τοῦ γένους διαμονήν.

Harris, p. 55, from Mai, *Script. Vet.* vii. 105 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τοῦ β′ τῶν ἐν Γενέσει* [*sic*] *ζητημάτων.*

20. (Ex. xxiii. 26b)

Πάγκαλον δέ φασι τὸ μήτε μησὶ μήτε ἐνιαυτοῖς καταριθμεῖσθαι τὸν βίον τῶν ἱκετῶν. Τῷ γὰρ ὄντι ἑκάστου σοφοῦ ἡμέρα ἰσότιμός ἐστιν αἰῶνι. Εὖ δὲ καὶ τὸ " ἀναπληρώσω " διὰ τὰ κενὰ φρονήσεως καὶ ἀρετῆς ἐν ψυχῇ διαστήματα τοῦ προκόπτοντος, ὃν βούλεται καθάπερ μουσικὸν ὄργανον διὰ πάντων ἡρμόσθαι πρὸς μίαν συμφωνίαν βουλημάτων καὶ λόγων καὶ πράξεων.

Wendland, pp. 98-99, from Procopius, Cod. Aug. f. 221v (Migne, p. 629).

21. (Ex. xxiii. 27a)

Καὶ τὸν φόβον ἀποστελῶ ἡγούμενόν σου.

Τὸ μὲν ῥητὸν ἐμφανές· εἰς κατάπληξιν ἐχθρῶν ἰσχυρὰ δύναμις ὁ φόβος, ὑφ᾿ οὗ μᾶλλον ἡ τῆς τῶν ἀντιπάλων ἐφόδου ῥώμη ἁλίσκεται. Τὸ δὲ πρὸς διάνοιαν οὕτως· δυοῖν οὐσῶν αἰτιῶν, ὧν ἕνεκα τὸ θεῖον ἄνθρωποι τιμῶσιν, ἀγάπης καὶ φόβου, τὸ μὲν ἀγαπᾶν ἐστιν ὀψίγονον· τὸ δὲ φοβεῖσθαι συνίσταται πρότερον, ὥστε οὐκ ἀπο σκοποῦ λελέχθαι τὸ ἡγεῖσθαι τὸν φόβον, τῆς ἀγάπης ὕστερον καὶ ὀψὲ προσγενομένης.

Harris, p. 56, from Pitra, *Anal. Sacr.* ii. 313 *e* Cod. Palat. Vat. 203, f. 261, and Cat. Lips. 1, col. 822, and Cat. Burney, f. 139 b.

Καὶ τὸν φόβον μου ἀποστελῶ ἡγούμενόν σου, ὑφ᾿ οὗ μᾶλλον ἢ τῆς τῶν ἀντιπάλων ῥώμης οἱ πολέμιοι ἁλίσκονται. Προηγεῖται δὲ τῆς ἀγάπης ὁ φόβος, ἢ τοῖς τελείοις ἐγγίνεται. Δι᾿ ἀμφοῖν γὰρ τιμᾶται θεός.

Wendland, p. 99, from Procopius, Cod. Aug. f. 222r (Migne, p. 629).

24. (Ex. xxiii. 28)

Σύμβολον δὲ ὑποληπτέον εἶναι τοὺς σφῆκας ἀνελπίστου δυνάμεως θείᾳ πομπῇ σταλησο-

Οἱ σφῆκες ἐξ ἀφανοῦς οὐ προειδομένους τιτρώσκουσι τὰ καιριώτατα, κεφαλήν τε καὶ τὰ

μένης, ἥτις ἀφ' ὑψηλοτέρων κατὰ κράτος ἐπιφέρουσα[a] *τὰς πληγάς, εὐστοχήσει πᾶσι τοῖς βλήμασι, καὶ διαθεῖσα οὐδὲν ἀντιπείσεται*[b] *τὸ παράπαν.*

Harris, p. 56, from Cat. Reg. Ined. 1825 (Mangey ii. 679), and Cat. Lips. 1, col. 823, and Cat. Burney, f. 139 b.

ἐν αὐτῇ . . . σημαίνοι δ' ἂν καὶ θείαν πομπὴν ἀνελπίστου δυνάμεως στελλομένης ἐξ οὐρανοῦ.

Wendland, p. 99, from Procopius, Cod. Aug. f. 222r (Migne, p. 629).

25. (Ex. xxiii. 29)

(*a*) *Ἐὰν τοῦ ἄρτι πρῶτον εἰσαγομένου καὶ μανθάνοντος σπουδάσῃς, πᾶσαν τὴν ἀμάθειαν ἐκτεμών, ἀθρόαν ἐπιστήμην εἰσοικίσαι τοὐναντίον οὗ διανοῇ πράξεις· οὔτε γὰρ τὴν ἀφαίρεσιν ἑνὶ καιρῷ γινομένην ὑπομενεῖ, οὔτε τὴν ἄφθονον ῥύμην καὶ φορὰν τῆς διδασκαλίας χωρήσει, ἀλλὰ καθ' ἑκάτερον τό τε ἐκτεμνόμενον καὶ προστιθέμενον ὀδυνηθεὶς καὶ περιαλγήσας ἀφηνιάσει.*[c] *Τὸ δὲ ἡσυχῇ καὶ μετρίως ἀφαιρεῖν μέν τι*[d] *τῆς ἀπαιδεύσιας, προστιθέναι δὲ τῆς παιδείας τὸ ἀνάλογον ὠφελείας γένοιτ' ἂν ὁμολογουμένης αἴτιον.*

Harris, pp. 56-57, from John Monachus (Mangey ii. 663) = Cod. Rupef. f. 137, and Pitra, *Anal. Sacr.* ii. 312 *e* Cod. Palat. 203, f. 261, and Cod. Vat. 1553, f. 129. " The latter MS. seems to be the one used by Mai, *Script. Vet.* vii. 100. . . ."

Τὰ γὰρ θηρία φεύγει τὰς τῶν πλειόνων ἀνθρώπων οἰκήσεις ὡς ἡγεμόνων τῇ φύσει καὶ τὰς ἐρήμους πληροῖ. Ἀλλ' οὐδὲ τὰς τῶν εἰσαγομένων ψυχὰς ἔστιν ὑφ' ἓν ἀπαλλάττειν ἀγνοίας καὶ πληροῦν ἐπιστήμης. Οὐ φέρουσι γὰρ οὔτε τὴν ἐκείνης ἀφαίρεσιν οὔτε τὴν ἄφθονον τῆς διδασκαλίας φοράν.

Wendland, p. 100, from Procopius, Cod. Aug. f. 222r (Migne, p. 629).

[a] *κατὰ κράτος ἐπιφέρουσα* ex Arm. conieci : *κατ' ἄκρον τὸ οὖς ὑποφέρουσα* codd. [b] Mangey : *ἀντιπεσεῖται* codd.

[c] *ἀπεράσει* Cod. Vat. (vid.) ap. Mai.

[d] *τι*] *κατ' ὀλίγον* Mai.

(*b*) Ὁ δὲ ἀγαθὸς ἰατρὸς οὐ μιᾷ ἡμέρᾳ τῷ νοσοῦντι πάντα ἀθρόα τὰ ὑγιεινὰ προσφέρειν[a] ἂν ἐθελήσειεν, εἰδὼς βλάβην ἐργαζόμενος μᾶλλον ἤπερ ὠφέλειαν,[b] ἀλλὰ διαμετρησάμενος τοὺς καιροὺς ἐπιδιανέμει τὰ σωτήρια καὶ ἄλλοτε ἄλλα προστιθεὶς πρᾴως ὑγίειαν ἐμποιεῖ.

Harris, pp. 57-58, from Cod. Rupef. f. 137, and Mai, *Script. Vet.* vii. 100 *e* Cod. Vat. 1553, f. 129 (*vid.*), and Dam. Par. 567, and Cod. Reg. f. 210 b.

26. (Ex. xxiii. 33b)

Ὥσπερ οἱ προσπταίσαντες, ἀρτίοις βαίνειν ποσὶν ἀδυνατοῦντες, μακρὰν τοῦ κατὰ τὴν ὁδὸν τέλους ὑστερίζουσι προκάμνοντες[c]· οὕτω καὶ ἡ ψυχὴ τὴν πρὸς εὐσέβειαν ἄγουσαν ὁδὸν ἀνύειν κωλύεται, προεντυγχάνουσα ταῖς ἀσεβέσιν ἀνοδίαις. Αὗται γάρ εἰσιν ἐμπόδιοι καὶ προσπταισμάτων αἰτίαι, δι' ὧν κυλλαίνων ὁ νοῦς ὑστερίζει τῆς κατὰ φύσιν ὁδοῦ. Ἡ δὲ ὁδός ἐστιν ἡ ἐπὶ τὸν πατέρα τῶν ὅλων τελευτῶσα.

Harris, p. 58, from Dam. Par. 774 = Cod. Rupef., ἐκ τοῦ α' τῶν ἐν Ἐξόδῳ ζητημάτων.

Τοῦτο γὰρ παθὼν ὁδοιπόρος προκάμνει, πρὶν εἰς τὸ τέλος ἐλθεῖν τῆς ὁδοῦ, καὶ ψυχὴ πρὸς θεὸν ὁδεύειν ἐθέλουσα δυσσεβέσιν ἀνοδίαις τῆς εὐθείας ἀπείργεται.

Wendland, p. 101, from Procopius, Cod. Aug. f. 222^{v} (Migne, p. 631).

28. (Ex. xxiv. 1b)

Οὐχ ὁρᾷς ὅτι τοῦ πυρὸς ἡ δύναμις τοῖς μὲν ἀφεστηκόσι μεμετρημένον διάστημα παρέχει φῶς, κατακαίει δὲ τοὺς ἐγγίζοντας; Ὅρα μὴ τοιοῦτόν τι πάθῃς τῇ διανοίᾳ, μή σε ὁ πολὺς πόθος ἀδυνάτου πράγματος ἀναλώσῃ.

Harris, p. 58, from Dam. Par. 748 = Cod. Rupef. f. 22 b.

[a] ἐπιφέρειν Dam. et Cod. Reg.

[b] ὑγίειαν Mai.

[c] προκάμνοντες ex Arm. et Procop. conieci : προσκάμνοντες Cod. Rupef.

37. (Ex. xxiv. 10)
Οὐδεὶς αὐχήσει τὸν ἀόρατον θεὸν ἰδεῖν, εἴξας ἀλαζονείᾳ.[a]
Harris, p. 59, from John Monachus (Mangey ii. 662) = Cod. Rupef. f. 55.

38. (Ex. xxiv. 11a)
Τὸ μὲν ῥητὸν διήγημα φανερὰν ἔχει τὴν ἀπόδοσιν ὡς ἁπάντων σώων διατηρηθέντων, τὸ δὲ πρὸς διάνοιαν τὸ πάντας περὶ τὴν εὐσέβειαν συμφώνους[b] *εἶναι καὶ ἐν μηδενὶ τῶν ἀγαθῶν διαφωνεῖν.*
Harris, p. 59, from Cat. Reg. Ined. 1825 (Mangey ii. 679), and Cat. Lips. 1, col. 829, and Cat. Burney, f. 141.

40. (Ex. xxiv. 12a)
Ἐνίοις ἀψίκορος ἐγγίνεται λογισμός, οἳ πρὸς ὀλίγον ἀναπτεροφορηθέντες αὐτίκα ὑπενόστησαν, οὐκ ἀναπτάντες μᾶλλον ἢ ὑποσυρέντες εἰς ταρτάρου, φησίν, ἐσχατίας. Εὐδαίμονες δὲ οἱ μὴ παλινδρομοῦντες.
Harris, p. 59, from Dam. Par. 784 = Cod. Rupef., *Φίλωνος· ἐκ τῶν ἐν Ἐξόδῳ ζητημάτων.*

45. (Ex. xxiv. 16a)

(*a*) *Ἐναργέστατα δυσωπεῖ τοὺς ἐγγὺς ὑπὸ ἀσεβείας εἴτε ἠλιθιότητος οἰομένους τοπικὰς καὶ μεταβατικὰς κινήσεις εἶναι περὶ τὸ θεῖον. Ἰδοὺ γὰρ ἐμφανῶς οὐ τὸν οὐσιώδη θεὸν τὸν κατὰ τὸ εἶναι μόνον ἐπινοούμενον κατεληλυθέναι φησίν, ἀλλὰ τὴν δόξαν αὐτοῦ. Διττὴ δὲ ἡ περὶ τὴν δόξαν ἐκδοχή· ἡ μὲν παρουσίαν ἐμφαίνουσα τῶν δυνάμεων, ἐπεὶ καὶ βασιλέως λέγεται δόξα ἡ στρατιωτικὴ δύναμις· ἡ δὲ τῇ δοκήσει αὐτοῦ μόνου καὶ ὑπολήψει δόξης θείας, ὡς ἐνειργάσθαι ταῖς τῶν παρόν-*

Ἐλέγχει τοὺς οἰομένους μεταβατικὰς δυνάμεις εἶναι περὶ θεόν. Οὐ γὰρ τὸν οὐσιώδη θεὸν τὸν κατὰ τὸ εἶναι μόνον ἐπινοούμενον κατεληλυθέναι φησίν, ἀλλὰ τὴν δόξαν αὐτοῦ, ἢ δυνάμεων παρουσίαν ἐμφαίνων—ἐπεὶ καὶ βασιλέως λέγεται δόξα δύναμις στρατιωτική—, ἢ δόκησιν αὐτὸ μόνον καὶ δόξης θείας ὑπόληψιν, ἢ τῶν παρόντων ὡς ἐπὶ τοιούτῳ τὴν φαντασίαν ἐτύπωσεν ὡς ἥκοντος θεοῦ πρὸς βεβαιοτάτην πίστιν τῶν μελλόντων νομοθετεῖσθαι.
Wendland, p. 101, from

[a] *ἀλογιστίᾳ* Mangey.

[b] *σύμφρονας* Cat. Reg.

των διανοίαις φαντασίαν ἀφίξεως θεοῦ, ὡς ἥκοντος εἰς βεβαιοτάτην πίστιν τῶν μελλόντων νομοθετεῖσθαι.

Harris, p. 60, from Cat. Reg. Ined. 1825 (Mangey ii. 679), and Cat. Lips. 1, col. 382.

Procopius, Cod. Aug. f. 224r (Migne, p. 633 ?).

(*b*) *Ἄβατος καὶ ἀπροσπέλαστος ὄντως ἐστὶν ὁ θεῖος χῶρος, οὐδὲ τῆς καθαρωτάτης διανοίας τοσοῦτον ὕψος προσαναβῆναι δυναμένης ὡς θίξει μόνον ἐπιψαῦσαι.*

Harris, p. 60, from Dam. Par. 748 = Cod. Rupef. 22 b, *ἐκ τοῦ αὐτοῦ ἤτοι τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητουμένων.*

46. (Ex. xxiv. 16b)

Τὸν ἴσον ἀριθμὸν ἀπένειμε καὶ τῇ τοῦ κόσμου γενέσει καὶ τῇ τοῦ ὁρατικοῦ γένους ἐκλογῇ, τὴν ἑξάδα· βουλόμενος ἐπιδεῖξαι ὅτι αὐτὸς καὶ τὸν κόσμον ἐδημιούργησε καὶ τὸ γένος εἵλετο. Ἡ δὲ ἀνάκλησις τοῦ προφήτου δευτέρα γένεσίς ἐστι τῆς προτέρας ἀμείνων. Ἑβδόμῃ δὲ ἀνακαλεῖται ἡμέρᾳ, ταύτῃ διαφέρων τοῦ πρωτοπλάστου· ὅτι ἐκεῖνος μὲν ἐκ γῆς καὶ μετὰ σώματος συνίστατο· οὗτος δὲ ἄνευ σώματος· διὸ τῷ μὲν γηγενεῖ ἀριθμὸς οἰκεῖος ἀπενεμήθη ἑξάς· τούτῳ δὲ ἡ ἱερωτάτη φύσις τῆς ἑβδομάδος.

Harris, pp. 60-61, from Cat. Lips 1, col. 832, *Προκοπίου*.

47. (Ex. xxiv. 17)

Τὸ δὲ εἶδος τῆς δόξης κυρίου φησὶν ἐμφερέστατον εἶναι φλογί, μᾶλλον δὲ οὐκ εἶναι ἀλλὰ φαίνεσθαι τοῖς ὁρῶσι· τοῦ θεοῦ δεικνύντος ὅπερ ἐβούλετο δοκεῖν εἶναι πρὸς τὴν τῶν θεωμένων κατάπληξιν, μὴ ὢν τοῦτο ὅπερ ἐφαίνετο. Ἐπιφέρει γοῦν τὸ " ἐνώπιον τῶν υἱῶν Ἰσραήλ," ἐναργέστατα μηνύων ὅτι φαντασία φλογὸς ἦν ἀλλ' οὐ φλὸξ ἀληθής. Ὥσπερ δὲ ἡ φλὸξ Ἐδείκνυε δὲ πῦρ θεός, οὐχ ὅπερ ἦν ἀλλ' ὅπερ ἠβούλετο δοκεῖν· ὃ δηλῶν ἐπήνεγκεν " ἐνώπιον τῶν υἱῶν Ἰσραήλ." Τὸ δὲ σύμβολον ὅτι δαπανητικὸν τὸ θεῖον λογισμῶν ἀσεβῶν, ὡς καὶ τῆς ὕλης τὸ πῦρ.

Wendland, p. 102, from Procopius, Cod. Aug. f. 224r *vid.*

πᾶσαν τὴν παραβληθεῖσαν ὕλην ἀναλίσκει, οὕτως, ὅταν ἐπιφοιτήσῃ εἰλικρινὴς τοῦ θεοῦ ἔννοια τῇ ψυχῇ, πάντας τοὺς ἑτεροδόξους ἀσεβείας λογισμοὺς διαφθείρει, καθοσιοῦσα τὴν ὅλην διάνοιαν.

Harris, p. 61, from Cat. Ined. Reg. 1825, and Cat. Lips. 1, col. 832 (Mangey ii. 679).

49. (Ex. xxiv. 18b)

(*a*) *Ὅτι ἔμελλε κατάκριτος ἔσεσθαι ἡ ἀποικισθεῖσα γενεὰ καὶ ἐπὶ τεσσαράκοντα ἔτεα φθείρεσθαι· μυρία μὲν εὐεργετηθεῖσα, διὰ μυρίων δὲ ἐπιδειξαμένη τὸ ἀχάριστον.*

Harris, p. 61, from Cat. Ined. Reg. 1825 (Mangey ii. 680), and Cat. Lips. 1, col. 833.

Τεσσαράκοντα δὲ μένει τὰς πάσας ἡμέρας ἐν ὄρει Μωϋσῆς, ὅσα ἔμελλεν ἔτη τῶν εὖ παθόντων ἡ ἀγνώμων φθείρεσθαι γενεά.

Wendland, p. 102, from Procopius (Migne, p. 635 a).

(*b*) *Ὑπὲρ ὧν ἐν ἰσαρίθμοις ἡμέραις ἱκέτευε τὸν πατέρα καὶ μάλιστα παρὰ τοιοῦτον καιρόν, ἐν ᾧ δίδονται νόμοι καὶ φορητὸν ἱερόν, ἡ σκηνή. Τίσι γὰρ οἱ νόμοι; ἆρά γε τοῖς ἀπολλυμένοις; Ὑπὲρ τίνων δὲ αἱ θυσίαι; [ἆρα] τῶν μικρὸν ὕστερον φθαρησομένων; προῄδει γὰρ ὡς προφήτης τὰ ἐσόμενα.*

Harris, p. 62, from Cat. Lips. 1, col. 834, *Προκοπίου*. (*Cf.* Wendland, p. 102, " Von hier an folgt Pr. dem Philo nicht mehr als Quelle ").

50. (Ex. xxv. 2)

(*a*) *Τὴν καρδίαν ἀντὶ τοῦ ἡγεμονικοῦ παρείληφεν ἡ γραφή.*

Harris, p. 62, from Mai, *Script. Vet.* vii. 103 *e* Cod. Vat. 1553, *Φίλωνος· ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητημάτων.*

(*b*) *Οὐ γὰρ ἐν ὕλαις ἀλλ' ἐν εὐσεβεῖ*[a] *διαθέσει τοῦ κομίζοντος ἡ ἀληθὴς ἀπαρχή. Ὁ μὴ ἐκ προαιρέσεως ἀπάρχων θεῷ, καὶ ἂν τὰ*

[a] Mangey : *εὐσεβείᾳ* codd.

μεγάλα[a] *πάντα κομίζῃ μετὰ τῶν βασιλικῶν θησαυρῶν, ἀπαρχὰς οὐ φέρει.*

Harris, p. 62, from John Monachus (Mangey ii. 670), *ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητημάτων.* (I have transposed the order of the two sentences to agree with the Armenian. This makes it unnecessary to accept Harris' suggestion that the last sentence [*οὐ γὰρ . . . ἀπαρχή*] is a gloss.)

55. (Ex. xxv. 10b [Heb. 11b]).

(*a*) *Οἱ ἀστέρες στρέφονται καὶ εἱλοῦνται κύκλον· οἱ μὲν κατὰ τὰ αὐτὰ τῷ σύμπαντι οὐρανῷ, οἱ δὲ καὶ κινήσεσιν ἰδίαις* <*ἃς*> *ἔλαχον ἐξαιρέτοις.*

Harris, p. 63, from John Monachus (Mangey ii. 670), *ἐκ τοῦ β′ ἐν Ἐξόδῳ ζητημάτων.*

(*b*) *Ὁ τῶν ἀνθρώπων βίος, ὁμοιούμενος πελάγει, κυματώσεις καὶ στροφὰς παντοίας προσεπιδέχεται*[b] *κατά τε εὐπραγίας καὶ κακοπραγίας.*[c] *Ἵδρυται γὰρ οὐδὲν τῶν γηγενῶν ἀλλ' ὧδε καὶ ἐκεῖσε διαφέρεται, οἷα σκάφος θαλαττεῦον ὑπ' ἐναντίων πνευμάτων.*[d]

Harris, p. 63, from Anon. Coll. Florilega Cod. Barocc. 143 (Mangey ii. 674), and Dam. Par. 506, "ascribed to Nilus," and Cod. Reg. 923, f. 156 b, "ascribed to the ii. Quaest. in *Genesim* [*sic*]."

62. (Ex. xxv. 17a [Heb. 18a]) *Τίνα τὰ χερουβίμ;*

Τὰ χερουβὶμ ἑρμηνεύεται μὲν ἐπίγνωσις πολλή, ἢ[e] *ἐν ἑτέροις ὄνομα ἐπιστήμη πλουσία καὶ κεχυμένη. Σύμβολα δέ ἐστι δυεῖν τοῦ Ὄντος δυνάμεων ποιητικῆς τε καὶ βασιλικῆς. Πρεσβυτέρα δὲ ἡ ποιητικὴ τῆς βασιλικῆς κατ' ἐπίνοιαν. Ἰσήλικες γὰρ αἵγε*[f] *περὶ τὸν θεὸν ἅπασαι δυνάμεις, ἀλλὰ προεπινοεῖταί πως ἡ ποιητικὴ τῆς βασιλικῆς· βασιλεὺς γάρ τις οὐχὶ τοῦ μὴ ὄντος ἀλλὰ τοῦ γεγονότος· ὄνομα δὲ ἔλαχεν ἐν τοῖς ἱεροῖς γράμμασιν ἡ μὲν ποιητικὴ*

[a] *μέταλλα* con. Harris.
[b] *προσδέχεται* Dam. : *προσενδέχεται* Cod. Reg.
[c] *καὶ κακοπραγίας* om. Cod. Barocc.
[d] *πραγμάτων* Dam.
[e] *ἢ* ins. Harris.
[f] Harris : *αἵτε* codd.

θεός, τὸ γὰρ ποιῆσαι θεῖναι ἔλεγον οἱ παλαιοί· ἡ δὲ βασιλικὴ κύριος, ἐπειδὴ τὸ κῦρος ἁπάντων ἀνακεῖται τῷ βασιλεῖ.

Harris, pp. 63-64, from Tischendorf, *Philonea*, p. 144 *e* Cod. Vat. 379, f. 385 (" This and the following passages [to § 99] were first edited by Grossmann in an inaugural dissertation, Leipsic, 1856 ").

63. (Ex. xxv. 17b [Heb. 18b]) *Διατί χρυσοῦ τορευτά;*

Ὁ μὲν χρυσὸς σύμβολον τῆς τιμιωτάτης οὐσίας, ἡ δὲ τορεία τῆς ἐντέχνου καὶ ἐπιστημονικῆς φύσεως· ἔδει γὰρ τὰς πρώτας τοῦ Ὄντος δυνάμεις ἰδέας ἰδεῶν ὑπαρχούσας καὶ τῆς καθαρωτάτης καὶ ἀμιγοῦς καὶ τιμαλφεστάτης καὶ προσέτι τῆς ἐπιστημονικωτάτης φύσεως μεταλαχεῖν.

Harris, p. 64, from Tischendorf, *Philonea*, p. 144.

64. (Ex. xxv. 17c-18 [Heb. 18c-19]) *Διατί ἐπ' ἀμφοτέρων τῶν κλιτῶν τοῦ ἱλαστηρίου τὰ χερουβὶμ ἥρμοττε;*

Τοὺς ὅρους τοῦ παντὸς οὐρανοῦ καὶ κόσμου δυσὶ ταῖς ἀνωτάτω φρουραῖς ὠχυρῶσθαι, τῇ τε καθ' ἣν ἐποίει τὰ ὅλα θεός, καὶ τῇ καθ' ἣν ἄρχει τῶν γεγονότων. Ἔμελλε γὰρ ὡς οἰκειοτάτου καὶ συγγενεστάτου κτήματος προκήδεσθαι, ἡ μὲν ποιητικὴ ἵνα μὴ λυθείη τὰ πρὸς αὐτῆς γενόμενα, ἡ δὲ βασιλικὴ ὅπως μηδὲν μήτε πλεονεκτῇ μήτε πλεονεκτῆται, νόμῳ βραβευόμενα τῷ τῆς ἰσότητος, ὑφ' ἧς τὰ πράγματα διαιωνίζεται[a]. *Πλεονεξία μὲν γὰρ καὶ ἀνισότης ὁρμητήρια πολέμου, λυτικὰ τῶν ὄντων· τὸ δὲ εὔνομον καὶ τὸ ἴσον εἰρήνης σπέρματα,*[b] *σωτηρίας αἴτια καὶ τῆς εἰσάπαν διαμονῆς.*

Harris, p. 64, from Tischendorf, *Philonea*, " *ut supra*."

65. (Ex. xxv. 19a [Heb. 20a]) *Διατί φησιν· " ἐκτείνει τὰς πτέρυγας τὰ χερουβὶμ ἵνα συσκιάζῃ ";*

Αἱ μὲν τοῦ θεοῦ πᾶσαι δυνάμεις πτεροφυοῦσι, τῆς ἄνω πρὸς τὸν πατέρα ὁδοῦ γλιχόμεναί τε καὶ ἐφιέμεναι· συσκιάζουσι δὲ οἷα πτέρυξι τὰ τοῦ παντὸς μέρη· αἰνίττεται δὲ ὡς ὁ κόσμος σκέπαις καὶ φυλακτηρίοις φρουρεῖται, δυσὶ ταῖς εἰρημέναις δυνάμεσι τῇ τε ποιητικῇ καὶ βασιλικῇ.

Harris, p. 65, from Tischendorf, *Philonea*, p. 146. " John Monach. (Mangey ii. 656), referring to ii. Quaest. in *Gen.*, gives the first sentence, as also Pitra, *Anal. Sac.* ii. p. xxiii *e* Cod. Coislin. (?), f. 60, with the same reference."

[a] *διαμονίζεται* Grossmann. [b] *τέρματα* Grossmann.

66. (Ex. xxv. 19b [Heb. 20b]) Διατί τὰ πρόσωπα εἰς ἄλληλα ἐκνεύει καὶ ἄμφω πρὸς τὸ ἱλαστήριον;

Παγκάλη τίς ἐστι καὶ θεοπρεπὴς ἡ τῶν λεχθέντων εἰκών· ἔδει γὰρ τὰς δυνάμεις, τήν τε ποιητικὴν καὶ βασιλικήν, εἰς ἀλλήλας[a] ἀφορᾶν, τὰ σφῶν κάλλη κατανοούσας καὶ ἅμα πρὸς τὴν ὠφέλειαν τῶν γεγονότων συμπνεούσας· δεύτερον ἐπειδὴ ὁ θεός, εἷς ὤν, καὶ ποιητής ἐστι καὶ βασιλεύς, εἰκότως αἱ διαστᾶσαι δυνάμεις πάλιν ἕνωσιν ἔλαβον· καὶ γὰρ διέστησαν ὠφελίμως ἵνα ἡ μὲν ποιῇ, ἡ δὲ ἄρχῃ. Διαφέρει γὰρ ἑκάτερον· καὶ ἡρμόσθησαν ἑτέρῳ τρόπῳ κατὰ τὴν τῶν ὀνομάτων ἀΐδιον προσβολὴν ὅπως καὶ ἡ ποιητικὴ τῆς βασιλικῆς καὶ ἡ βασιλικὴ τῆς ποιητικῆς ἔχηται. Ἀμφότεραι γὰρ συννεύουσιν εἰς τὸ ἱλαστήριον εἰκότως· εἰ μὴ γὰρ ἦν τοῖς νῦν οὖσιν ἵλεως ὁ θεός, οὔτ᾽ ἂν εἰργάσθη τι διὰ τῆς ποιητικῆς οὔτ᾽ ἂν εὐνομήθη διὰ τῆς βασιλικῆς.

Harris, p. 65, from Tischendorf, *Philonea*, p. 147.

67. (Ex. xxv. 21a [Heb. 22a]) Τί ἐστι· "γνωσθήσομαί σοι ἐκεῖθεν";

Γνῶσιν καὶ ἐπιστήμην ὁ εἰλικρινέστατος καὶ προφητικώτατος νοῦς λαμβάνει τοῦ ὄντος οὐκ ἀπ᾽ αὐτοῦ τοῦ ὄντος, οὐ γὰρ χωρήσει τὸ μέγεθος, ἀλλ᾽ ἀπὸ τῶν πρώτων αὐτοῦ καὶ δορυφόρων δυνάμεων. Καὶ ἀγαπητὸν ἐκεῖθεν εἰς τὴν ψυχὴν φέρεσθαι τὰς αὐγὰς ἵνα δύνηται διὰ τοῦ δευτέρου φέγγους τὸ πρεσβύτερον καὶ αὐγοειδέστερον θεάσασθαι.

Harris, p. 66, from Tischendorf, *Philonea*, p. 148.

68. (Ex. xxv. 21b [Heb. 22b]) Τί ἐστι· "λαλήσω ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ μέσον τῶν χερουβίμ";

Ἐμφαίνει διὰ τοῦτο πρῶτον μὲν ὅτι καὶ τῆς ἵλεω καὶ τῆς ποιητικῆς καὶ πάσης δυνάμεως ὑπεράνω τὸ θεῖόν ἐστιν· ἔπειτα δὲ ὅτι λαλεῖ κατὰ τὸ μεσαίτατον τῆς τε ποιητικῆς καὶ βασιλικῆς· τοῦτο δὲ τοιοῦτον ὑπολαμβάνει νοῦς[b]· ὁ τοῦ θεοῦ λόγος μέσος ὢν οὐδὲν ἐν τῇ φύσει καταλείπει κενόν, τὰ ὅλα πληρῶν καὶ μεσιτεύει καὶ διαιτᾷ τοῖς παρ᾽ ἑκατέρᾳ διεστάναι δοκοῦσι, φιλίαν καὶ ὁμόνοιαν ἐργαζόμενος· ἀεὶ γὰρ κοινωνίας· αἴτιος καὶ δημιουργὸς εἰρήνης. Τὰ μὲν οὖν περὶ τὴν κιβωτὸν κατὰ μέρος εἴρηται· δεῖ δὲ συλλήβδην ἄνωθεν ἀναλαβόντα τοῦ γνωρίσαι χάριν τίνων ταῦτά ἐστι σύμβολα διεξελθεῖν· ἦν δὲ ταῦτα συμβολικά. Κιβωτὸς καὶ τὰ ἐν αὐτῇ θησαυριζόμενα νόμιμα καὶ ἐπὶ ταύτης τὸ ἱλαστήριον καὶ τὰ ἐπὶ

[a] edd. : ἀλληγορίαν codd. [b] νοῦν Grossmann.

τοῦ ἱλαστηρίου Χαλδαίων *γλώττῃ λεγόμενα χερουβίμ, ὑπὲρ δὲ τούτων κατὰ τὸ μέσον φωνὴ καὶ λόγος καὶ ὑπεράνω ὁ λέγων.* Εἰ *δέ τις ἀκριβῶς δυνηθείη κατανοῆσαι τὰς τούτων φύσεις, δοκεῖ μοι πᾶσι τοῖς ἄλλοις ἀποτάξασθαι ὅσα ζηλωτά, κάλλεσι θεοειδεστάτοις περιληφθείς.* Σ*κοπῶμεν δὲ ἕκαστον οἷόν ἐστι.* Τὸ *πρῶτον ὁ καὶ ἑνὸς καὶ μονάδος καὶ ἀρχῆς πρεσβύτερος.* Ἔ*πειτα ὁ τοῦ* Ὄ*ντος λόγος,*[a] *ἡ σπερματικὴ τῶν ὄντων οὐσία· ἀπὸ δὲ τοῦ θείου λόγου, καθάπερ ἀπὸ πηγῆς, σχίζονται αἱ*[b] *δύο δυνάμεις.* Ἡ *μὲν ποιητική, καθ' ἣν ἔθηκε τὰ πάντα καὶ διεκόσμησεν ὁ τεχνίτης, αὕτη θεὸς ὀνομάζεται· ἡ δὲ βασιλική, καθ' ἣν ἄρχει τῶν γεγονότων ὁ δημιουργός, αὕτη καλεῖται κύριος.* Ἀπὸ *δὲ τούτων τῶν δυεῖν δυνάμεων ἐκπεφύκασιν ἕτεραι· παραβλαστάνει γὰρ τῇ μὲν ποιητικῇ ἡ ἵλεως, ἧς ὄνομα εὐεργέτις, τῇ δὲ βασιλικῇ ἡ νομοθετική, ὄνομα δὲ εὐθύβολον ἡ κολαστήριος· ὑπὸ δὲ ταύτας καὶ περὶ ταύτας ἡ κιβωτός· ἔστι δὲ κιβωτὸς κόσμου νοητοῦ σύμβολον.* Ἔ*χει δὲ τὰ πάντα ἱδρυμένα ἐν τοῖς ἐσωτάτοις ἁγίοις συμβολικῶς ἡ κιβωτός, τὸν ἀσώματον κόσμον, τὰ νόμιμα ἃ κέκληκε μαρτύρια, τὴν νομοθετικὴν καὶ κολαστήριον δύναμιν, τὸ ἱλαστήριον, τὴν ἵλεω καὶ εὐεργέτιν, τὰς ὑπεράνω τήν τε ποιητικήν, ἥτις ἐστὶ πίστις*[c] *τῆς ἵλεω καὶ εὐεργέτιδος, καὶ τὴν βασιλικήν, ἥτις ἐστὶ ῥίζα τῆς κολαστηρίου καὶ νομοθετικῆς.* Ὑ*πεμφαίνεται δὲ μέσος ὢν ὁ θεῖος λόγος, ἀνωτέρω δὲ τοῦ λόγου ὁ λέγων· ἔστι δὲ καὶ ὁ τῶν κατειλεγμένων ἀριθμὸς ἑβδομάδι συμπληρούμενος νοητὸς κόσμος, καὶ δυνάμεις δύο συγγενεῖς ἥ τε κολαστήριος καὶ εὐεργέτις, καὶ ἕτεραι πρὸ τούτων δύο ἥ τε ποιητικὴ καὶ ἡ βασιλική, συγγένειαν ἔχουσαι μᾶλλον πρὸς τὸν δημιουργὸν ἢ τὸ γεγονός· καὶ ἕκτος ὁ λόγος καὶ ἕβδομος ὁ λέγων· ἐὰν δὲ ἄνωθεν τὴν καταρίθμησιν ποιῇ, εὑρήσεις τὸν μὲν λέγοντα πρῶτον, τὸν δὲ λόγον δεύτερον, τρίτην*[d] *δὲ τὴν ποιητικὴν δύναμιν, τετάρτην δὲ τὴν ἀρχήν, εἶτα δὲ ὑπὸ μὲν τῇ ποιητικῇ πέμπτην τὴν εὐεργέτιν, ὑπὸ δὲ τῇ βασιλικῇ ἕκτην τὴν κολαστήριον, ἕβδομον δὲ τὸν ἐκ τῶν ἰδεῶν κόσμον.*

Harris, pp. 66-68, from Tischendorf, *Philonea*, pp. 148-152.

85. (Ex. xxvi. 1c)

Τὸ *μὲν γὰρ ἦν ἁλουργικόν, τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαφές, τὸ δὲ ὑακίνθῳ προσεοικός, ἡ δὲ βύσσος τὴν λευκὴν εἶχε χροιάν.* Καὶ *ταῦτα δὲ τῶν τεσσάρων στοιχείων ἦν αἰνίγματα.* Ὁ *μὲν γὰρ ὑάκινθος τῷ ἀέρι προσέοικε, τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαφὲς τῷ πυρί, τὸ δὲ ἁλουργικὸν μηνύει τὴν θάλατταν—ἐκείνη γὰρ τρέφει*

[a] *λόγου* Grossmann.
[b] *αἱ* add. Tischendorf.
[c] *πηγὴ* ex Arm. conieci.
[d] *τρίτον* Harris.

τὸν κόχλον, ἐξ οὗ τὸ τοιοῦτον γίνεται χρῶμα—, ἡ δὲ βύσσος τὴν γῆν· ἐκ ταύτης γὰρ φύεσθαι λέγεται.
Wendland, pp. 107-108, from Theodoret, *Quaest. in Exodum*, Migne, p. 284 D.

99. (Ex. xxvii. 1b)
Οὔτε πλοῦτον ἀσπάζεται τὸ θεῖον οὔτε πενίαν ἀποστρέφεται.
Harris, p. 68, from Pitra, *Anal. Sacr.* ii. 308 *e* Cod. Coislin. 276, f. 208.

105. (Ex. xxvii. 21b)
Οὐδὲν οὔτε ἥδιον οὔτε σεμνότερον ἢ θεῷ δουλεύειν, ὃ καὶ τὴν μεγίστην βασιλείαν ὑπερβάλλει. Καί *μοι δοκοῦσιν οἱ πρῶτοι βασιλεῖς ἅμα καὶ ἀρχιερεῖς γενέσθαι, δηλοῦντες ἔργοις ὅτι χρὴ τοὺς τῶν ἄλλων δεσπόζοντας δουλεύειν τοῖς λατρεύουσι θεῷ.*
Harris, p. 68, from Dam. Par. 775=Cod. Rupef. f. 113, *ἐκ τοῦ β′ τῶν ἐν Ἐξόδῳ ζητημάτων.*

107. (Ex. xxviii. 2)
Δόξα, ὡς ὁ παλαιὸς λόγος, ψευδής ἐστι ὑπόληψις καὶ δόκησις ἀβέβαιος.
Harris, p. 68, from Mai, *Script. Vet.* vii. 102 *e* Cod. Vat. 1553, *ἐκ τῶν ἐν Ἐξόδῳ ζητημάτων.*

117. (Ex. xxviii. 27 [Heb. 31]).
Διά τοι τοῦτο γὰρ τοῦ ἀέρος ὁ ποδήρης εἶχε τὸ χρῶμα. Ὑάκινθος δὲ ἦν, ὡς ἂν καὶ εἰς τοῦτο ἀφορῶν μετάρσιος γένηται.
Wendland, p. 108, from Theodoret, *Quaest. in Exodum*, Migne, p. 285 B.

118. (Ex. xxviii. 28 [Heb. 32])
Οἱ λάλοι, τὰ ὀφείλοντα ἡσυχάζεσθαι ῥηγνύντες, τρόπον τινὰ ὑπὸ γλωσσαλγίας προχέουσιν εἰς ὦτα ἀκοῆς οὐκ ἄξια.
Harris, p. 68, from Dam. Par. 576, and Cod. Reg. 923, f. 231, " in each case headed Φίλωνος."

UNIDENTIFIED FRAGMENTS FROM QUAESTIONES IN EXODUM[a]

1. Ἀμήχανον ἀνθρωπίνῃ φύσει τὸ τοῦ Ὄντος πρόσωπον θεάσασθαι. Τὸ δὲ πρόσωπον οὐ κυριολογεῖται, παραβολή δέ ἐστιν εἰς δήλωσιν τῆς καθαρωτάτης καὶ εἰλικρινεστάτης τοῦ Ὄντος ἰδέας, ἐπειδὴ καὶ ἄνθρωπος οὐδενὶ γνωρίζεται μᾶλλον ἢ προσώπῳ κατὰ τὴν ἰδίαν ποιότητα καὶ μορφήν. Οὐ γάρ φησιν ὁ θεὸς ὅτι "οὐκ εἰμὶ ὁρατὸς τὴν φύσιν"—τίς δὲ μᾶλλον ὁρατὸς ἢ ὁ τὰ ἄλλα πάντα γεννήσας ὁρατά;—"πεφυκὼς δὲ τοιοῦτος εἰς τὸ ὁρᾶσθαι ὑπ' οὐδενὸς ἀνθρώπων ὁρῶμαί" φησι. Τὸ δὲ αἴτιον ἡ ἀδυναμία τοῦ γενητοῦ. Καὶ ἵνα μὴ περιπλέκων μηκύνω· θεὸν γενέσθαι δεῖ πρότερον—ὅπερ οὐδὲ οἷόν τε—ἵνα θεὸν ἰσχύσῃ τις καταλαβεῖν. Ἐὰν δὲ ἀποθάνῃ μέν τις τὸν θνητὸν βίον, ζήσῃ δὲ ἀντιλαβὼν τὸν ἀθάνατον, ἴσως ὃ μηδέποτε εἶδεν ὄψεται. Αἱ φιλοσοφίαι πᾶσαι κατά τε τὴν Ἑλλάδα καὶ βάρβαρον ἀκμάσασαι, ζητοῦσαι τὰ φύσεως, οὐδὲ τὸ βραχύτατον ἠδυνήθησαν τηλαυγῶς ἰδεῖν. Σαφὴς δὲ πίστις αἱ διαφωνίαι, αἱ διαμάχαι καὶ ἑτεροδοξίαι τῶν ἑκάστης αἱρέσεως ἀνασκευαζόντων καὶ ἀνασκευαζομένων μέρη· καὶ πᾶσιν ὁρμητήρια πολέμων γεγόνασιν αἱ τῶν αἱρεσιομάχων σκιαί,[b] τυφλοῦσαι τὸν δυνάμενον βλέπειν ἀνθρώπινον νοῦν ταῖς ἀντιλογικαῖς ἔρισιν, ἀμηχανοῦντα τίνα δεῖ προσέσθαι[c] καὶ τίνα διώσασθαι. Δεῖ τὸν βουλόμενον φαντασιωθῆναι τὸν τῶν ὅλων ἄριστον, στῆναι τὸ πρῶτον κατὰ ψυχήν, ἱδρυνθέντα παγίως γνώμῃ μιᾷ, καὶ μηκέτι πρὸς πολλὰ πλάζεσθαι, ἔπειτα δὲ στῆναι ἐπὶ φύσεως καὶ γνώμης ξηρᾶς καὶ ἀγόνου πάντων,[d] ὅσα φθαρτά· ἐὰν γὰρ προσήσεταί τι τῶν μαλακωτέρων, σφαλήσεται τῆς προθέσεως. Ἀδυνατήσει καὶ τὸ ὀξυωπέστατον βλέπον ἰδεῖν τὸ ἀγένητον, ὡς τυφλωθῆναι πρότερον ἢ θεάσασθαι διὰ τὴν ὀξυαύγειαν καὶ τὸν ἐπεισρέοντα[e] χείμαρρον τῶν μαρμαρυγῶν.

Harris, pp. 72-73, from Dam. Par. 748 = Cod. Rupef. f. 22 b, ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητουμένων.

[a] The sections have been numbered by me.
[b] Harris: οἰκίαι codd.
[c] Mangey: προέσθαι codd.
[d] Harris: παντός codd.
[e] Mangey: ἀπεισρέοντα codd.

2. Ἡ φορὰ τῶν κακιῶν ἀνακυκᾷ καὶ στροβεῖ τὴν ψυχήν, ἴλιγγον αὐτῇ περιτιθεῖσα τὸν καλύπτοντα καὶ καμμύειν ἐκβιαζόμενον τὴν φύσει μὲν πρέπουσαν ὄψιν, ἐπιτηδεύσει δὲ τυφλουμένην.
Harris, p. 73, from Dam. Par. 751 (Cod. Rupef.), ἐκ τῶν ἐν Ἐξόδῳ ζητημάτων.

